729

# Η ΠΟΛΙΣ ΣΙΩΝ

Ἤ

## Ἡ ἐπὶ τῆς Πέτρας οἰκοδομηθεῖσα Ἐκκλησία

ἤτοι

ΗΙ ΑΝΘΡΩΠΙΝΟΣ ΚΟΙΝΩΝΙΑ ΕΝ ΧΡΙΣΤΩ.

Δεδοξασμένα ἐλαλήθη περὶ Σοῦ ἡ πόλις τοῦ Θεοῦ. Ὡς εὐφραινομένων πάντων ἡ κατοικία ἐν Σοί, ὅτι τοῦ ποταμοῦ τὰ ὁρμήματα εὐφραίνουσι τὴν πόλιν τοῦ Θεοῦ. (Ἐκ τοῦ Δαυίδ).

SISMANOGLIO MEGARO



ΕΝ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΙ,

ΕΚ ΤΟΥ ΤΥΠΟΓΡΑΦΕΙΟΥ «Η ΑΝΑΤΟΛΗ»

ΕΥΑΓΓΕΛΙΝΟΥ ΜΙΣΑΗΛΙΔΟΥ.

—

1860.

ΤΗι ΣΕΠΤΟΤΑΤΗι ΑΝΑΣΣΗι ΤΟΥ ΟΥΡΑΝΟΥ
ΚΑΙ ΤΗΣ ΓΗΣ
ΤΗι ΚΕΧΑΡΙΤΩΜΕΝΗι ΘΕΟΤΟΚΩι ΜΑΡΙΑΜ
ΤΗι ΑΠΕΙΡΑΝΔΡΩι ΜΗΤΡΙ ΤΟΥ ΚΥΡΙΟΥ
ΚΑΙ ΘΕΟΥ ΚΑΙ ΣΩΤΗΡΟΣ ΗΜΩΝ
ΙΗΣΟΥ ΧΡΙΣΤΟΥ
ΚΑΙ ΠΑΝΤΩΝ ΟΥΣ Ο ΚΥΡΙΟΣ
ΟΥΚ ΕΠΑΙΣΧΥΝΕΤΑΙ ΚΑΛΩΝ
ΑΔΕΛΦΟΥΣ
ΤΗι ΕΥΛΟΓΗΜΕΝΗι ΕΝ
ΓΥΝΑΙΞΙ.

Τὴν βίβλον ἀνατίθησιν

Ὁ εὐγνώμων υἱός

Α: Μ:

SISMANOGLIO MEGARO

SISMANOGLIO MEGARO

*Σεπτοτάτη μου Μῆτερ!*

Μνημονεύω τοῦ χρόνου, καθ' ὃν περιβεβλημένη τὸν Ἥλιον, βαστάζουσα τὸν βαστάζοντα πάντα, ὃν τρόπον εἰκονίζει ἡ εἰκὼν ἡ καλουμένη τῶν οὐρανῶν Πλατυτέρα, παρεγένου πρὸς τὸν παῖδά σου δωρουμένη μοι τὸν Λόγον τὸν ἀγαθόν, ὃν ἐξηρεύξατο ἡ καρδία τοῦ ἀνάρχου Πατρός, καὶ ὃν γεγέννηκας, ὅτε ἦλθε τὸ πλήρωμα τοῦ χρόνου. Ἀπεποιούμην τὴν δωρεάν, συνειδὼς τὴν ἐμὴν ἀναξιότητα, ἀλλ' οὐκ ἠδυνήθην ἀρνήσασθαι, ὅτι ἀμεταμέλητα τὰ χαρίσματα καὶ ἡ κλῆσις τοῦ Θεοῦ, ἐνέσταξας εἰς τὴν ψυχήν μου Πνεῦμα δρόσου, καὶ ἀπῆλθες. Μυούμενος τὸν μετὰ ταῦτα χρόνον τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς ἀϊδίου Σοφίας, ἃ ὁ Πατὴρ ἀπέκρυψεν ἀπὸ σοφῶν καὶ συνετῶν καὶ ἀπεκάλυψε νηπίοις, ἀνεγνώρισά Σε αἴφνης τὴν οὖσαν Μητέρα μου, καθὼς καὶ πάντων τῶν ἐν ἀληθείᾳ ἐπικαλουμένων τὸ ὄνομα τοῦ πρωτοτόκου ἐν πολλοῖς ἀδελφοῖς, τοῦ ἀγαπητοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὃς οὐκ ἐπαισχύνεται ἀδελφοὺς ἡμᾶς καλεῖν, μετέχοντας ἐκ τῆς σαρκὸς αὐτοῦ καὶ ἐκ τοῦ αἵματος αὐτοῦ, ὃς υἱοθέτησέ Σοι πάντας τοὺς ἑαυτοῦ μαθητὰς διαθέμενός Σοι διαθήκην κατὰ τὰς τελευταίας στιγμὰς τῆς ἐντεῦθεν μεταβάσεως. Τὸν γὰρ ἠγαπημένον Ἰωάννην καὶ παρθένον ἀπὸ τοῦ σταυροῦ ὑποδείξας Σοι, ἔφη, Γύναι, Ἰδοὺ ὁ υἱός σου, εἶτα λέγει τῷ μαθητῇ, Ἰδοὺ ἡ μήτηρ σου. Τότε διεκαύθην καὶ εἶπα ἐν τῇ καρδίᾳ μου. Εἰ ὁ νόμος τοῦ Θεοῦ

καὶ Πατρὸς ἐκέλευσε τιμᾶν τὰς δοκούσας μητέρας λέγων «Τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα» καὶ κατεδίκασε θανάτῳ τὸν κακολογοῦντα αὐτοὺς πάλιν λέγων, «Ὁ κακολογῶν πατέρα ἢ μητέρα αὐτοῦ θανάτῳ τελευτάτω» Ὅσον ὅσον ὀφείλομεν τιμᾶν Σὲ τὴν ὄντως Μητέρα, ὅσοι Χριστὸν Ἰησοῦν ἐπικαλούμεθα; Ἔφριξε δέ μου τὸ πνεῦμα ἐπὶ τοῖς ψευδωνύμοις ἐκείνοις Χριστιανοῖς τοῖς ἀτιμάζουσι καὶ κακολογοῦσι Σὲ τὴν σεπτοτάτην Ἄνασσαν τοῦ οὐρανοῦ καὶ τῆς γῆς, τὴν καλὴν ἐν γυναιξὶ, τὴν παραστᾶσαν ἐκ δεξιῶν τοῦ Πατρὸς ἐν ἱματισμῷ διαχρύσῳ περιβεβλημένην, πεποικιλμένην, ἧς τὸ κάλλος ἐπεθύμησεν ὁ Βασιλεύς! Ὦ Μῆτερ ἐμή! Ἀνακηρύττω σου τὸ αἰώνιον δικαίωμα, ὃ κέκτησαι ἐκ τοῦ αἰωνίου νόμου τῆς δικαιοσύνης, καὶ ἐν ὀνόματι τοῦ αὐτοῦ νόμου, καταδικαστέον θανάτῳ αἰωνίῳ πάντας τοὺς ἀθετοῦντας αὐτὸ καὶ παραβαίνοντας. Καθῆκον ἄρα μέγα ἐγὼ τετήρηκα ἀνατεθεικὼς Σοι τήνδε τὴν βίβλον, πόνον ἐμῶν χειρῶν, καρπὸν τῆς παρὰ τῷ μόνῳ Καθηγητῇ καὶ διδασκάλῳ μαθητείας μου, εἰς ἔνδειξιν τῆς υἱικῆς μου εὐγνωμοσύνης τε καὶ σεβασμοῦ. Ἀλλὰ καὶ χαίρω χαρὰν μεγάλην σφόδρα, ὅτι ἡ ἡμετέρα Ὀρθόδοξος Ἀνατολικὴ Ἐκκλησία τηρεῖ ἀκριβῶς τὸν αἰώνιον τῆς δικαιοσύνης νόμον, μετὰ τὸν πρὸς τὸν Τρισυπόστατον Κύριον ὕμνον, ἀνυμνοῦσα καὶ Σὲ τὴν τιμιωτέραν τῶν Χερουβὶμ καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τὸν Σεραφίμ. Ἀλλ' ὦ Μῆτερ, ἣν μακαρίζομεν καὶ ἀνυμνοῦμεν οἱ πιστοὶ ἡμεῖς κατὰ χρέος, ἐν ὀνόματι τοῦ ἀναλλοιώτου τῆς δικαιοσύνης νόμου, δέχθητι εὐμενῶς τὴν ἱκεσίαν μου ταύτην.

Καθὼς, ὅτε ῥομφαία διῆλθέ Σου τὴν παναγίαν ψυχὴν, ὁ ἠγαπημένος μαθητὴς Σὲ παρέλαβεν εἰς τὰ ἴδια καὶ παρεμυθήσατό Σε, οὕτω καὶ νῦν ἡμᾶς ὀδυνωμένους καὶ

SISMANOGLIO MEGARO



πάσχοντας ὑπὸ χειρῶν ἀνόμων, παράλαβε ὑπὸ τὴν σκέπην καὶ προστασίαν σου, καὶ ἀνάγαγε ἡμᾶς εἰς ἀναψυχὴν φιλοστόργως παραμυθουμένη τὰ τέκνα σου, ἵνα καὶ αὖθις ψάλλωμέν Σοι τῇ ὑπερμάχῳ στρατηγῷ τὰ νικητήρια, καὶ ἀναγράφωμέν Σοι εὐχαριστήρια λυτρωθέντες τῶν δεινῶν, κράζοντες γηθοσύνως, χαῖρε νύμφη ἀνύμφευτε, χαῖρε Μῆτερ πολύτεκνε. Ἀμήν.

Χαῖρε Κεχαριτωμένη ὁ Κύριος μετὰ Σοῦ.

Χαῖρε μήτηρ τοῦ Κυρίου, χαῖρε Κεχαριτωμένη,
Χαῖρε ἡ καλὴ πλησίον τοῦ Ὑψίστου γενομένη.
Χαῖρε, γύναι νικηφόρε, ἡ ἐχθρεύσασα τῷ ὄφει,
Χαῖρε ἡ τροπωσαμένη τὸν ἐχθρὸν τῇ ταπεινώσει.
Ἡ ἡσύχιος, ἡ πρᾷος, ἡ ἑλκύσασα τὸ βλέμμα
Τοῦ κλονίζοντος τὸ σύμπαν εἰς ἓν μόνον ἁπλοῦν νεῦμα,
Ἡ παγκάλη Μαριάμ.

Σὺ εἶ ἡ γυνὴ ἐκείνη, περὶ ἧς ὁ Ὢν προέφη,
Ὅτε τὸ γηγενὲς ζεῦγος θείου νόμου ἔξω ἔδη.
Ἔχθραν θήσω ἀναμέσον γυναικὸς καὶ βροτοκτόνου
Σπέρματός τε ἀναμέσον γυναικὸς καὶ Διαβόλου.
Τὸ εὐλογημένον σπέρμα, ὁ καρπὸς τῆς σῆς κοιλίας
Τῇ σοφίᾳ, οὐ δυνάμει, βάλλει, κτείνει τὸν Βελίαρ,
Καὶ ἐρύσατο ἡμᾶς.

Οὓς ἐποίησε συμμόρφους τῆς ἰδίας τῆς εἰκόνος,
Ἀδελφοὺς καλῶν προσέτι ἐπαισχύνεται οὐδόλως.
Μεταδοὺς δὲ ἡμῖν σῶμα τοῦ καρποῦ τῆς σῆς κοιλίας,
Σοὶ δικαίωμα παρέχει τῆς ἡμῶν υἱοθεσίας.
Σύ μου μήτηρ, ἣν ὀφείλω, κατὰ τὸν θεόθεν νόμον
Μετὰ τὸν Πατέρα σέβειν, ὃς γεγένηκε τὸν Λόγον,
Τὸν σκηνώσαντα ἐν Σοί,
Τῇ καλῇ ἐν γυναιξὶ
Ναὶ Ἀμήν.

---

SISMANOGLIO MEGARO

# ΠΡΟΛΕΓΟΜΕΝΑ

## ΤΗΣ ΠΟΛΕΩΣ

# ΣΙΩΝ.

# ΠΡΟΛΕΓΟΜΕΝΑ

## ΤΗΣ ΠΟΛΕΩΣ

# ΣΙΩΝ.

SISMANOGLIO MEGARO

> Πᾶς οὖν ὅστις ὁμολογήσει ἐν ἐμοὶ ἔμπροσθεν τῶν ἀνθρώπων, ὁμολογήσω κἀγὼ ἐν αὐτῷ ἔμπροσθεν τοῦ Πατρός μου τοῦ ἐν οὐρανοῖς. Ὅστις δ' ἂν ἀρνήσηταί με ἔμπροσθεν τῶν ἀνθρώπων, ἀρνήσομαι κἀγὼ αὐτὸν ἔμπροσθεν τοῦ Πατρός μου τοῦ ἐν οὐρανοῖς. Ματθ. Κ. 10. 32.

Τὸ μέγα τῆς εὐσεβείας μυστήριον, ἡ τοῦ Θεοῦ ἐν σαρκὶ φανέρωσις, ἐπιστεύθη ἐν κόσμῳ οὐκ ἐν σοφίᾳ λόγου· ἀλλ' ἐν δυνάμει Θεοῦ. Οἱ Ἀπόστολοι ἔλεγον πρὸς τὰ εἰδωλολατροῦντα πλήθη, ὅτι οὐκ εἰσὶ θεοὶ τὰ εἴδωλα, χρυσίον καὶ ἀργύριον ὄντα, ἔργα χειρῶν ἀνθρώπων· ἀλλ' ὅτι Θεὸς ἦν ὁ ἐν Ἰουδαίᾳ ἐπὶ Ποντίου Πιλάτου σταυρωθεὶς Ἰησοῦς ὁ Χριστός. Ταύτην δὲ τὴν πρότασιν οὐ κατεσκεύαζον, καὶ οὐκ ἐποίουν ἀποδεκτὴν τῷ ὅτι καὶ τῷ διότι· ἀλλὰ σημείοις τε καὶ τέρασι, καὶ ποικίλαις δυνάμεσι, καὶ Πνεύματος Ἁγίου μερισμοῖς κατὰ τὴν αὐτοῦ θέλησιν. «Οὐ γὰρ » ἀπέστειλέ με Χριστὸς βαπτίζειν, ἔγραφεν ὁ θεῖος Παῦλος πρὸς » Κορινθίους, ἀλλ' εὐαγγελίζεσθαι, οὐκ ἐν σοφίᾳ λόγου, ἵνα μὴ » κενωθῇ ὁ Σταυρὸς τοῦ Χριστοῦ... Κἀγὼ ἐλθὼν πρὸς ὑμᾶς, ἀδελ- » φοί, ἦλθον οὐ καθ' ὑπεροχὴν λόγου ἢ σοφίας καταγγέλλων ὑμῖν » τὸ μαρτύριον τοῦ Θεοῦ. Οὐ γὰρ ἔκρινα τοῦ εἰδέναι τι ἐν ὑμῖν, εἰ » μὴ Ἰησοῦν Χριστόν, καὶ τοῦτον ἐσταυρωμένον... Καὶ ὁ λόγος » μου καὶ τὸ κήρυγμά μου οὐκ ἐν πειθοῖς ἀνθρωπίνης σοφίας

» λόγοις, ἀλλ' ἐν ἀποδείξει Πνεύματος καὶ δυνάμεως, ἵνα ἡ πίςις » ὑμῶν μὴ ᾖ ἐν σοφίᾳ ἀνθρώπων, ἀλλ' ἐν δυνάμει Θεοῦ. » Ἀλλὰ καὶ αὐτὸς ὁ Κύριος Ἰουδαίους διδάσκων ἐπειρᾶτο πείθειν αὐτοὺς οὐ τοσοῦτον τοῖς ὅτι καὶ τοῖς διότι, ὅσον τοῖς ἔργοις οἷς ἐποίει. « Κἂν ἐμοί, ἔλεγε, μὴ πιστεύητε, τοῖς ἔργοις πιστεύσατε, ἵνα » γνῶτε καὶ πιστεύσητε ὅτι ἐγώ εἰμι. » Καὶ πάλιν « Τὰ ἔργα ἃ » ἐγὼ ποιῶ, αὐτὰ τὰ ἔργα μαρτυρεῖ περὶ ἐμοῦ, ὅτι ὁ πατήρ με » ἀπέστειλε. » Διατί δὲ οὕτως ἐποίει ὅ τε Κύριος οἵ τε αὐτοῦ μαθηταί; Πρόσεχε τοῖς ὑπ' ἐμοῦ λεγομένοις καὶ σεαυτῷ, ἵνα γνῷς. Ἡ ἐλευθέρα τοῦ ἀνθρώπου ἐνέργεια ἐν τούτῳ κυρίως συνίσταται· ἀνανεύειν ἢ κατανεύειν, καταφάσκειν ἢ ἀποφάσκειν, λέγειν ναὶ ἢ οὔ ἐπί τινος προτάσεως. Καταφάσκει δὲ ἀφ' ἑαυτῆς ἡ ψυχὴ πρότασίν τινα ἑλκομένη σοφίᾳ ἢ δυνάμει, λόγῳ ἢ ἔργῳ. λ. χ. Ἀποφαίνεταί τις περὶ ἑαυτοῦ λέγων, ἐγώ εἰμι τοιός δε τις μηχανικός. Ἡ κρίσις μου ἵσταται μετέωρος, μήτε ἀνανεύουσα μήτε κατανεύουσα ἐπὶ τῆς ἐκπεφασμένης ταύτης προτάσεως. Ἐὰν δὲ ἐπομένως περιγράψῃ μοι λόγῳ τὴν μηχανὴν, τὰ ἐξ ὧν σύγκειται μέρη, ἑκάστου τὸ προσὸν καὶ τὴν ἐνέργειαν, καὶ ἐπὶ τῶν νόμων τῆς κινήσεως καὶ τῆς δυνάμεως λογιζόμενος ἀποδείξῃ μοι τὸ ἀποτέλεσμα ταύτης, πιστεύσω τότε, καὶ κατανεύσω, καὶ ἐρῶ, ὅτι ἐστὶ τοιός δε τις μηχανικός. Ἐὰν δὲ ἔργῳ συστήσῃ τὴν μηχανήν, καὶ αὕτη ἀρξαμένη κινεῖσθαι δείκνυσι τὸ ἑαυτῆς ἀποτέλεσμα, καὶ διὰ τοῦ τρόπου τούτου οὐχ ἧττον ἢ διὰ τοῦ πρώτου κατανεύσω, καὶ ἐρῶ, ὅτι ἐστὶ τοιός δε τις μηχανικός. Ἡ οὕτω γινομένη παραδοχὴ τῆς προτάσεως ἐν τῇ ψυχῇ καλεῖται πίστις. Καὶ πιστεύω, σημαίνει, ἀποδέχομαι ἑκουσίως πρότασίν τινα, πειθόμενος σοφίᾳ ἢ δυνάμει, ἔργῳ ἢ λόγῳ, ἢ καὶ δι' ἀμφοτέρων. Τὰ δύο ταῦτα τῆς πειθοῦς μέσα, ἑκάτερον καθ' ἑαυτὸ ἔχει τὰ ἑαυτοῦ πλεονεκτήματα καὶ τὰς ἐλλείψεις. Ἡ ἐν λόγῳ σοφίας ἀπόδειξις ὑποτίθησιν ἀκροατὴν ἐξίσου συνετὸν καὶ νοήμονα τῷ λέγοντι, καὶ ἐλαχίστοις ἐστὶν ἐφικτή. Ἡ δὲ ἐν ἔργῳ καὶ δυνάμει πείθει πάντα ἄνθρωπον μὴ ἐςερημένον τῆς αἰσθητικῆς τε καὶ ἀντιληπτικῆς δυνάμεως. Ἐκείνη τρέφει τὸν νοῦν, θέλγει τὴν θεωρητικὴν τῆς ψυχῆς δύναμιν, πείθει ἠρέμα

SISMANOGLIO



μετὰ γλυκύτητος καὶ χάριτος, καὶ διὰ ταῦτα ἀρέσκει τοῖς εὐαισθητοτέροις τε καὶ σοφωτέροις ἀνδράσι. Αὕτη δέ, καθ' ὃ δυνάμεως ἐνέργεια, αἰχμαλωτίζει εἰς πίστιν βιαιότερον, καὶ ἐντίκτει μὲν βεβαιότητα περὶ τοῦ πράγματος, ὅτι οὕτως ἔχει, ἀλλ' ἐᾷ τὸν οὕτω πιστεύοντα ἐν ἀπορίᾳ τοῦ πῶς καὶ τοῦ διατί. Διὰ ταῦτα ἁρμόζει αὕτη μᾶλλον εἰς τὰ πλήθη, μαρτυρίαν μόνον περὶ τοῦ πράγματος ζητοῦντα, εἰ οὕτως ἔχει, τὸ δὲ πῶς, καὶ διὰ τίνας λόγους, ἐλάχιστα πολυπραγμονοῦντα. Ἐν ἑκατέρῳ τρόπῳ τῆς ἀποδείξεως ἔνεστιν ἡ πειθώ· ἀλλὰ καὶ ἐν ἑκατέρῳ ἀποκλειστικῷ ὄντι ὑπεισέρχεταί τις ἀμφιβολία· ἐν ἐκείνῳ μὲν ἡ τοῦ παραλογισμοῦ, ἐν δὲ τῷ ἑτέρῳ ἡ τῆς αἰσθητικῆς ἀπάτης· ἀλλ' ὅταν ἀμφότεροι ἐφαρμόζωνται ἐπὶ τοῦ αὐτοῦ πράγματος, ἐπὶ τῆς αὐτῆς ἀληθείας, ἐντίκτουσι τὴν ἀπόλυτον βεβαιότητα τὴν ἀποκλείουσαν πανταχόθεν τὴν ἀμφιβολίαν. Ἐὰν γὰρ ἀποφανθῶ περὶ ἐμαυτοῦ, ὅτι εἰμὶ τοιός δε τις μηχανικός, καὶ ἄρξωμαι κατασκευάζειν τὴν πρότασιν τῇ τῆς μηχανῆς περιγραφῇ, τῷ τε ὅτι καὶ τῷ διότι, δύναταί τις ἀμφιβάλλειν ὑποπτευόμενος ἐκ σοφιστείας ἀπάτην, ἐὰν μάλιστα μὴ οἷός τε ᾖ ἕπεσθαι ἀκριβῶς τῷ λόγῳ. Ἐὰν δὲ πάλιν ἔργῳ στήσας τὴν μηχανὴν ἀποφαίνωμαι, ὅτι εἰμὶ τοιός δε τις μηχανικός, ἕτερός τις ἐν οὐδενὶ τιθέμενος τὴν τῶν αἰσθήσεων μαρτυρίαν δύναται ὑποπτεῦσαι αἰσθητικὴν ἀπάτην, ἣν οἱ γόητες καὶ τερατοποιοὶ ἐπιτηδεύουσιν ἐν τοῖς πλείστοις. Ἀλλ' ὅταν ἐγώ, ἀποφανθεὶς ὅτι εἰμὶ τοιός δε τις μηχανικός, κατασκευάσω τὴν πρότασιν λόγῳ τε καὶ ἔργῳ, σοφίᾳ τε καὶ δυνάμει, οὐδεὶς ἔχει δικαίωμα τότε ἀμφιβάλλειν, ἀλλ' οὐδὲ καὶ δύναται πεῖσαι ἑαυτὸν ἀμφιβάλλειν, πλὴν εἰ ἔστι ἑτερόν τι ἢ ἄνθρωπος.

Ἡ αἰώνιος Εὐαγγελικὴ ἀλήθεια ἔχουσα καὶ τοὺς δύο τῆς ἀποδείξεως τρόπους χρῆται ἑκατέρῳ καὶ ἀμφοτέροις κατὰ τὸν καιρὸν καὶ τὴν χρείαν, τοὺς μὲν ἁπλουςτέρους ἕλκουσα σημείοις τε καὶ τέρασι καὶ ποικίλαις δυνάμεσι, σοφίαν δὲ λαλοῦσα ἐν τοῖς τελείοις, καὶ τοῖς ἀμφοτέρων ἐφιεμένοις ἀμφότερα ἔχει δεῖξαι. Ἀλλ' ὅτε ὁ Υἱὸς τοῦ ἀνθρώπου ἦλθεν εἰς τὸν κόσμον, ἵνα σώσῃ τὸν κόσμον, ἵνα ἑλκύσῃ πάντας πρὸς ἑαυτὸν καὶ σώσῃ τοὺς

πιστεύοντας, ὡς γέγραπται « Ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν μὴ » ἀπόληται, ἀλλ' ἔχῃ ζωὴν αἰώνιον. » Τίνι τρόπῳ ἀποδείξεως ὤφειλε χρῆσθαι; Ὁμολογουμένως τῷ τῶν ἔργων. Διότι οὗτος καὶ εἰς πάντας ἐπεκτείνεται, καὶ τῶν ἀντικειμένων τὰ στόματα ἐμφράττει ἐνώπιον τῶν πολλῶν, πλεονεκτήματα, ὧν ἀμοιρεῖ ἡ ἐν λόγῳ σοφίας ἀπόδειξις. Ὁ Χριστὸς ἐμαρτύρει περὶ ἑαυτοῦ, καὶ ὡμολόγει ἑαυτὸν υἱὸν Θεοῦ καὶ Θεὸν αἰώνιον, ἴσον τῷ Πατρί. Καὶ ἐπειδὴ ἡ θεότης ὁρίζεται ἐν τῇ τελείᾳ δυνάμει καὶ ἐν τῇ τελείᾳ σοφίᾳ, ὅτι Θεὸς οὐκ ἔστιν ἄλλο ἢ θέλησις ἐλευθέρα τελείαν ἔχουσα σοφίαν καὶ τελείαν δύναμιν, ἤγουν ὁ πάντα νοῶν καὶ πάντα δυνάμενος, ὁ Χριστὸς, ἵνα πιστώσηται τοῖς ἀνθρώποις τὴν περὶ ἑαυτοῦ ὁμολογίαν, ὤφειλεν ἀποδεῖξαι ἑαυτὸν κάτοχον τελείας σοφίας καὶ τελείας δυνάμεως. Ἀλλ' οἱ ἄνθρωποι τῶν μὲν ἔργων τῆς τελείας δυνάμεως ἠδύναντο ἀντιληφθῆναι, τῆς δὲ ἐν λόγῳ σοφίας ἐξηγήσεως τῆς τελείας αὐτοῦ σοφίας οὐδαμῶς ἠδύναντο συνιέναι. Διὰ τοῦτο καὶ ὁ Κύριος τὰ ἔργα τῆς τελείας δυνάμεως ἐπεδείκνυτο μᾶλλον, καὶ δι' αὐτῶν ἐπεχείρει πείθειν. « Τὰ ἔργα, ἃ ἐγὼ ποιῶ, » ἔλεγεν, αὐτὰ τὰ ἔργα μαρτυρεῖ περὶ ἐμοῦ... Καί, κἂν ἐμοὶ μὴ πι- » στεύητε, τοῖς ἔργοις πιστεύσατε »· ἤγουν, ἢ οὐ πείθεσθε ἐκ τῶν λόγων μου ὡς ἀσύνετοι, πείσθητε τοὐλάχιστον ἐκ τῶν ἔργων μου, ἅτινα οὐ δύνασθε ἀρνήσασθαι. Διὸ καὶ τοὺς αὐτῷ ἀπιστήσαντας κατακρίνων ἔλεγεν, « Εἰ τὰ ἔργα μὴ ἐποίησα ἐν αὐτοῖς, ἃ οὐδεὶς » ἄλλος πεποίηκεν, ἁμαρτίαν οὐκ εἶχον, νῦν δὲ πρόφασιν οὐκ ἔ- » χουσι περὶ τῆς ἁμαρτίας. » Οἱ δὲ Ἀπόστολοι ὤφειλον μάλιστα ἀποφεύγειν τὴν ἐν λόγῳ σοφίας ἀπόδειξιν, ἵνα μὴ κενωθῇ ὁ Σταυρὸς τοῦ Χριστοῦ. Τουτέστι, ἐπειδὴ ἡ σταύρωσις τοῦ Χριστοῦ ἦν προφανὲς ἀσθενείας δεῖγμα, ἔλεγον γάρ, εἰ Θεὸς ἦν ὁ Χριστὸς καὶ τελείας δυνάμεως κάτοχος, πῶς ἠδύναντο ἐπικρατῆσαι αὐτοῦ οἱ ἐχθροί! διὰ τοῦτο οἱ Ἀπόστολοι ὤφειλον ἐπιδείκνυσθαι διὰ τῶν ἔργων τὴν δύναμιν τοῦ Σταυροῦ, καὶ πείθειν ὅτι τὸ ἀσθενὲς τοῦ Θεοῦ ἰσχυρότερον τῶν ἀνθρώπων ἐστί, καὶ ὅτι ἡ σταύρωσις ἐγένετο οὐχὶ δι' ἀσθένειαν πραγματικήν· ἀλλὰ διὰ λόγους μυστηριώδεις, ἐν οἷς ἐμυοῦντο οἱ πιστεύοντες, καὶ ὅτι ὑπὸ τὴν φαινομέ-

SISMANOGLIO



νην ἀσθένειαν τοῦ Σταυροῦ δείκνυται ἄμαχός τε καὶ ἀκαταγώνιστος δύναμις. « Εἰ γὰρ καὶ παρεδόθη ἐξ ἀσθενείας, κηρύττει Παῦ- » λος, ἀλλὰ ζῇ ἐκ δυνάμεως Θεοῦ »· ἤγουν, ὤφειλεν ὁ Θεάνθρωπος Κύριος ἑκουσίως παραδοθῆναι εἰς θάνατον, ἵνα δῷ τὸ τέλειον δεῖγμα τῆς ὑπερτάτης αὐτοῦ δυνάμεως διὰ τῆς ἐκ νεκρῶν ἀναστάσεως. Καὶ τίς ὁ δυνάμενος ἀρνήσασθαι, ὅτι ὁ νεκρὸν τετραήμερον ἐκ τοῦ μνήματος ἐγείρων, ὁ λόγῳ καθαρίζων τοὺς λεπροὺς καὶ συσφίγγων τοὺς παραλυτικούς, ὁ τὰ πονηρὰ πνεύματα ἐμβάλλων εἰς τὴν ἀγέλην τῶν χοίρων, ὁ τοῖς ἀνέμοις καὶ τῇ θαλάσσῃ ἐπιτιμῶν ἀπειθεῖν μὴ δυναμένοις, ὁ ἀνοίγων ὀφθαλμοὺς τυφλοῦ γεγεννημένου, ὁ τοὺς ἄρτους πληθύνων ἐν τῇ ἐρήμῳ, τό τε ὕδωρ εἰς οἶνον μεταποιῶν, καὶ τοσαῦτα ἄλλα ποιήσας ἀδύνατα ἀριθμηθῆναι διὰ τὸ πληθυνθῆναι ὑπὲρ τοὺς ἀστέρας τοῦ οὐρανοῦ τῷ πλήθει, οὐκ ἦν τελείας δυνάμεως κάτοχος; Πῶς δὲ ὁ τελείας δυνάμεως κάτοχος δύναται ἐστερῆσθαι τῆς τελείας σοφίας; Ἡ σοφία καὶ ἡ δύναμίς εἰσι προσόντα ἐν τοιαύτῃ ἀναλογίᾳ βαίνοντα, ὥστε ὁ τοῦ ἑνὸς κάτοχος ἐν τελειότητι ἀδύνατον μὴ εἶναι καὶ τοῦ ἑτέρου. Ὁ δὲ τῆς τελείας σοφίας καὶ τῆς τελείας δυνάμεως κάτοχος πῶς οὐκ ἔστι Θεός; Πεισάτωσαν ἡμᾶς οἱ σοφοὶ τοῦ αἰῶνος τούτου, ἢ μᾶλλον πεισάτωσαν ἑαυτοὺς πρῶτον, εἰ δύνανται. Ἀλλὰ μὴ καὶ ἐν οἷς ὁ Κύριος ἐλάλησε, καὶ ἐν οἷς νενομοθέτηκε, οὐ διορᾶται τὸ βάθος ἧς εἶχε σοφίας καὶ γνώσεως; Μαρτυροῦσιν αὐτὰ τὰ στόματα τῶν ἐχθρῶν λέγοντα « Οὐδέποτε οὕτως ἐλάλησεν ἄνθρωπος, ὡς οὗτος » ὁ ἄνθρωπος. » Καὶ πάλιν, « Πόθεν αὐτῷ ἡ σοφία αὕτη καὶ αἱ » δυνάμεις; » Καὶ ἐσκανδαλίζοντο ἐν αὐτῷ. Καὶ πάλιν, « Πῶς » οὗτος οἶδε γράμματα μὴ μεμαθηκώς; » Ἀλλὰ καὶ οἱ τοῦ αἰῶνος τούτου Ἰουδαῖοι ἀναγνωρίζουσιν αὐτὸν σοφὸν ὑπὲρ πάντας ἀνθρώπους, καὶ τάσσουσιν ἄνω Κομφουκίου καὶ Σωκράτους καὶ Πλάτωνος. Ἐγὼ δέ, Κύριέ μου, πιστεύω καὶ ὁμολογῶ, ὅτι Σὺ ὁ Χριστὸς ὁ Υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος. Καὶ διατί; διότι ἐθεώρησά Σε κάτοχον τελείας σοφίας καὶ τελείας δυνάμεως. Καὶ προσκυνῶ Σε καὶ λατρεύω Σε ὡς Κύριον καὶ Θεόν μου, καὶ καθὸ πλάσμα λο-

γικόν, ὡς λογικὴν λατρείαν ἀναφέρω Σοι τῷ ποιητῇ μου Λόγῳ τὸν συλλογισμὸν τόν δε·

Ο ΠΑΝΤΑ ΝΟΩΝ ΚΑΙ ΠΑΝΤΑ ΔΥΝΑΜΕΝΟΣ ΕΣΤΙ ΘΕΟΣ.

ΑΔΑΛΜΗΝ Ο ΧΡΙΣΤΟΣ ΚΑΤΟΧΟΣ ΤΕΛΕΙΑΣ ΣΟΦΙΑΣ ΚΑΙ ΔΥΝΑΜΕΩΣ ΔΕΔΕΙΚΤΑΙ.

ΑΡΑ Ο ΧΡΙΣΤΟΣ ΕΣΤΙ ΘΕΟΣ.

Καὶ τολμησάτωσαν οἱ σοφοὶ τοῦ αἰῶνος τούτου, οἱ ἱερόσυλοι σοφισταί, συλῆσαί μου τὸ ἀνάθημα, εἴτε κατὰ μονάδα, εἴτε κατὰ τριάδα. Τολμησάτωσαν συλῆσαι εἴτε τὴν μείζονα, εἴτε τὴν ἐλάσσονα, εἴτε τὸ συμπέρασμα, εἴτε ὅλον τὸ τρίπλεκτον τοῦτο σπαρτίον. Οὐδ᾽ εἰ δέκα αὐτοῖς γλῶσσαι, δέκα δὲ στόματα εἶεν, φωνὴ δ᾽ ἄῤῥηκτος, χάλκεον δ᾽ αὐτοῖς ἦτορ ἐνείη, οὐδ᾽ οὕτως δυνήσονται ὑφελεῖν ἰῶτα ἓν, ἢ μίαν κεραίαν, ἐκ λογικοῦ ἀναθήματος τῷ ἐν ἀρχῇ Θεῷ Λόγῳ ἀνατεθέντι, καὶ αἰσχυνέσθωσαν πάντες οἱ ἐχθροί σου Κύριε, πάντες οἱ υἱοὶ τῶν ἀφρόνων ἐνώπιον τῶν υἱῶν τῆς πίστεως καὶ τῆς συνέσεως. Ἐπανέλθωμεν ἐπὶ τὸ προκείμενον. Ὅτε Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, οἵ τε μαθηταὶ αὐτοῦ καὶ Ἀπόστολοι ὤφειλον δι᾽ οὓς ἐξεθήκαμεν λόγους, ἕλκειν τοὺς ἀνθρώπους εἰς πίστιν διὰ τῆς δυνάμεως τῶν ἔργων· ἀλλὰ καὶ μεγάλως ἐφίεντο, ἵνα φωτίσωσι καὶ συνετίσωσι τοὺς ἀξίους καὶ ἐν λόγῳ σοφίας, ὅτι ὁ Θεὸς ἡμῶν Θεὸς φωτὸς, καὶ οὐχὶ Θεὸς σκότους. Ὅτε γὰρ Παῦλός φησι, Σοφίαν δὲ λαλοῦμεν ἐν τοῖς τελείοις... « Καὶ ἐγὼ, ἀδελφοί, » οὐκ ἠδυνήθην λαλῆσαι ὑμῖν ὡς πνευματικοῖς, ἀλλ᾽ ὡς σαρκι» κοῖς, ὡς νηπίοις ἐν Χριστῷ. Γάλα ὑμᾶς ἐπότισα, καὶ οὐ βρῶμα· » οὔπω γὰρ ἠδύνασθε, ἀλλ᾽ οὐδὲ ἔτι νῦν δύνασθε. » Ὅτε Κύριος προσευχόμενος κατὰ τὴν παραμονὴν τοῦ σεπτοῦ αὐτοῦ πάθους ἔλεγε, « Πάτερ, οὓς δέδωκάς μοι θέλω, ἵνα, ὅπου εἰμὶ ἐγὼ, κἀκεῖ» νοι ὦσι μετ᾽ ἐμοῦ, ἵνα θεωρῶσι τὴν δόξαν τὴν ἐμὴν, ἣν δέδω» κάς μοι, ὅτι ἠγάπησάς με πρὸ καταβολῆς κόσμου. » Καὶ ὅμως κατὰ τοὺς αἰῶνας τούτους, οὓς ἐκάλεσαν αἰῶνας φωτισμοῦ καὶ πολιτεύσεως, ἀνέστησαν ἄνδρες ἐκ τῆς τοῦ ὄφεως γονῆς, οἵτινες

SISMANOGLIO MEGARO



εὐφυΐᾳ σατανικῇ πορίζόμενοι ἐπιχειρήματα ἐκ τῆς φαυλοβιότητος τῶν κατεχόντων τὴν ἀλήθειαν ἐν ἀδικίᾳ, διαβάλλοντες τὸ ἱερὸν ὄνομα τῆς πίστεως ὡς τυφλήν τινα συγκατάθεσιν τῆς ψυχῆς ἀναξίαν τοῦ λογικοῦ ἀνθρώπου, διαβάλλοντες τὰ μυστήρια, ὡς ἐναντία τῶν νόμων τῆς φύσεως, καὶ πᾶσαν τὴν Εὐαγγελικὴν ἀλήθειαν, ὡς ἀκατάληπτον φύσει, ὀφείλουσαν ὑποχωρῆσαι ἐνώπιον τῆς τὰ πάντα φωτιζούσης φιλοσοφίας τῆς ἐκρεούσης ἐκ τοῦ ἑαυτῶν ἐγκεφάλου, ἠρνήθησαν ἑπομένως, ὥσπερ ὁ ἀναθεματισθεὶς Ἄρειος, τὴν θεότητα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, κατελάλησαν τῶν ἱερῶν βιβλίων τῆς ἀληθείας, καί, ὡς ῥομφαίαν τὴν γλῶσσαν αὐτῶν ἠκονημένην ἔχοντες, ἐτόλμησαν ἀφρόνως διακόψαι τὰς διαθήκας καὶ τοὺς δεσμοὺς τοὺς ἀπ᾽ αἰῶνος ὑφισταμένους μεταξὺ τοῦ Θεοῦ καὶ τῶν ἀνθρώπων, μυθιστόρημα μὲν καλοῦντες τὴν Παλαιὰν Διαθήκην, τὸ δὲ ἱερὸν Εὐαγγέλιον φιλοσόφου ἀνδρὸς διδασκαλίαν ὑπερτέραν τῶν πρὸ αὐτῆς. Τὰ δὲ θαύματα ἀπέδωκαν εἰς τὴν καπήλευσιν τῶν νόμων τῆς φύσεως, οὓς ὁ Κύριος ἐγίνωσκεν, ὡς ἀνὴρ φιλόσοφος. Κατ᾽ αὐτοὺς ἄρα ὁ Κύριος ἡμῶν καὶ ἐν αὐτῇ τῇ ἀνθρωπότητι ψεύστης τίς ἐστι καὶ ἀπατεὼν (ἐπ᾽ ὠφελείᾳ ὅμως τῆς ἀνθρωπότητος) διότι ἀπέδωκεν ἑαυτῷ προσόντα Θεοῦ, ἅτινα οὐκ εἶχε, καὶ ὅτι ἐχρήσατο τοῖς φυσικοῖς νόμοις, οὓς ἐγίνωσκεν, ὡς οὐδεὶς ἄλλος, πρὸς ἀπάτην τῶν λαῶν. Καὶ δικαιοῦσιν οὕτω τοὺς σταυρώσαντας αὐτὸν Ἰουδαίους, οἵτινες κατέκριναν αὐτὸν θανάτῳ, διότι ἑαυτὸν υἱὸν Θεοῦ ἐποίησεν. « Ἡμεῖς, ἔλεγον » τῷ Πιλάτῳ, νόμον ἔχομεν, καὶ κατὰ τὸν νόμον ἡμῶν ὀφείλει » ἀποθανεῖν, ὅτι ἑαυτὸν υἱὸν Θεοῦ ἐποίησεν. » Ἑπομένως ἀδίκως ἡ θεία δίκη τετιμώρηκεν Ἰουδαίους, καὶ εἰ Θεὸς ἦν καὶ πρόνοια, τὰ πράγματα ὤφειλεν ἀποβῆναι ἀντιθέτως ἢ ὡς ἀπέβησαν, καὶ ἐπικρατῆσαι τὸν Ἰουδαϊσμὸν τοῦ Χριστιανισμοῦ. Ἀλλ᾽ οἱ αὐτοὶ πάλιν ὁμολογοῦσιν, ὅτι ὁ ψεύστης οὗτος καὶ ἀπατεὼν, ὁ δικαίως ὑπὸ Ἰουδαίων καταδικασθείς, δέδωκε τὸ τελειότατον τῆς ἠθικῆς σύστημα, ὅπερ ὑπεστήριξε διὰ τοῦ ἰδίου βίου καὶ παραδείγματος, καὶ συνᾴδουσι κατὰ τοῦτο τῷ προφήτῃ Ἀββακοὺμ προφητικῶς ἀναφωνοῦντι, « Ἐκάλυψεν οὐρανοὺς ἡ ἀρετὴ αὐτοῦ, καὶ τῆς αἰνέσεως

» αὐτοῦ πλήρης ἡ γῆ. » Ἐντεῦθεν διακρίνονται τὰ τέκνα τοῦ σκότους, ὅτι οὐκ οἴδασι τί λαλοῦσι, καὶ καθ' Ὅμηρον εἰπεῖν, ὀλοῇσι φρεσὶ θύοντες οὐκ οἴδασι νοῆσαι ἅμα πρόσω καὶ ὀπίσω. Οὕτω δὲ ἀρνησάμενοι οἱ ἄφρονες οὗτοι τὴν θεότητα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ οὐκ ἠδυνήθησαν ἀντ' αὐτοῦ δεῖξαι τοῖς ἀνθρώποις Θεὸν ἕτερον, ἀλλ' ἐκπεπτώκασιν εἰς ἀθείαν τὴν ἐσχάτην. Ἠναγκάσθησαν γὰρ ἐν πρώτοις ἀρνήσασθαι τὴν θείαν πρόνοιαν, καὶ κατὰ συνέπειαν καὶ αὐτὸν τὸν Θεόν. Ἡ γὰρ πρότασις ὁ Θεὸς οὐκ ἔστι προνοητὴς τῶν ἀνθρωπίνων, ἰσοδυναμεῖ πρὸς τὴν πρότασιν, ἣν οἱ ἄφρονες λέγουσιν ἐν τῇ ἑαυτῶν καρδίᾳ, ὅτι οὐκ ἔστι Θεός. Καὶ ἀπέδειξαν ἐν τῇ ἑαυτῶν ἀρνήσει τρανώτατα τὴν θεότητα τοῦ Χριστοῦ, ὅτι ἀρνησάμενοι ταύτην, οὐκ ἠδυνήθησαν εὑρεῖν Θεὸν ἕτερον ἀντ' αὐτοῦ. Καὶ πεπλήρωται ἡ θεολόγος ἐκείνη φωνὴ τοῦ υἱοῦ τῆς βροντῆς, Ὁ ἔχων τὸν Υἱὸν ἔχει καὶ τὸν Πατέρα· καὶ ὁ μὴ ἔχων τὸν Υἱὸν οὐδὲ τὸν Πατέρα ἔχει. Ἐπομένως, ὥς φησιν ὁ αὐτός, ὁ πιστεύων εἰς τὸν Υἱὸν ἔχει ζωὴν αἰώνιον, ὁ δὲ ἀπειθῶν τῷ Υἱῷ οὐκ ὄψεται τὴν ζωήν, ἀλλ' ἡ ὀργὴ τοῦ Θεοῦ μένει ἐπ' αὐτόν. Ὁ ἀρνητὴς ἄρα τῆς θεότητος τοῦ Χριστοῦ, καὶ ἐκ τῆς ἐκβάσεως τῶν πραγμάτων, καὶ κατὰ τὸ θεῖον λόγιον, καὶ κατὰ λογικὴν ἀνάγκην, οὐ δύναται ἐκφυγεῖν τὴν εἰς ἀθείαν πτῶσιν. Τεθέντος γὰρ ὅτι Χριστὸς οὐκ ἔστι Θεός, ἕπεται ἀναγκαίως ὅτι ψεύδονται αἱ Γραφαὶ αἱ μαρτυροῦσαι περὶ τῆς θεότητος αὐτοῦ· ψεῦσται ἄρα καὶ οἱ κατὰ καιροὺς συγγράψαντες αὐτάς. Ἐπειδὴ δὲ ὁ Θεὸς βλέπων, ὅτι ἐν ἀνθρώποις ψευδῆ περὶ αὐτοῦ διδάσκονται, καὶ ὅτι ἕτεροι σφετερίζονται τὴν θείαν δόξαν, οὐκ ἔλαβε πρόνοιαν, καὶ οὐκ ἐδίδαξεν αὐτοὺς τὰ ἀληθῆ, ἀλλ' ἀφῆκε πάντας ἀνθρώπους τἀναντία δοξάζειν περὶ Θεοῦ καὶ μηδὲν ὑγιές, ἕπεται ὅτι ὁ Θεὸς βούλεται τοὺς ἀνθρώπους εἶναι ἐν τῷ ψεύδει, ἢ οὐδὲν αὐτῷ μέλλει περὶ ὧν δοξάζουσι περὶ αὐτοῦ, ἀμφότερα δὲ ἰσοδύναμά εἰσι. Ἀλλὰ Θεὸς βουλόμενος ἐν τοῖς ἄλλοις τὸ ψεῦδος καὶ αὐτὸς φιλοψευδής, καὶ οὐ φιλαλήθης. Θεὸς δὲ φιλοψευδὴς καὶ ψεύδεται. Θεὸς δὲ ψεύστης οὐκ ἔστι Θεός. Καὶ ἄλλως. Εἰ ὁ Χριστὸς ἐψεύδετο λέγων ἑαυτὸν εἶναι Θεόν, ἠλήθευον οἱ Ἰουδαῖοι



λέγοντες ὅτι οὐκ ἦν. Καὶ καταδικάσαντες αὐτὸν θανάτῳ ἀσχήμονι ἐποίησαν, ὡς ἐποίουν ἂν οἱ ἐν τῇ κοινωνίᾳ συλλαμβάνοντες γόητά τινα καὶ ἀπαταιῶνα τέχνῃ τινὶ ἐξομοιούμενον τῷ βασιλεῖ καὶ τὰ τοῦ βασιλέως δικαιώματα σφετεριζόμενον. Ἀληθεύοντες ἄρα οἱ Ἰουδαῖοι δικαιότατα πεπράχασι. Τὸ δίκαιον δὲ καὶ τὴν ἀλήθειαν ὑπὲρ ἑαυτῶν ἔχοντες ὤφειλον ἐπικρατῆσαι τῆς ἀδικίας καὶ τοῦ ψεύδους, ὅπερ κατεδίωκον διὰ πυρὸς καὶ μαχαίρας, συμμάχους ἔχοντες καὶ τοὺς ἐθνικούς. Ἀλλὰ συνέβη πᾶν τοὐναντίον, καὶ κεκράτηκε Χριστιανισμὸς Ἰουδαϊσμοῦ τε καὶ πολυθεϊσμοῦ, ὑπ' ἀμφοτέρων καταδιωκόμενος. Ἕπεται ἄρα ὅτι τὸ ψεῦδος καὶ ἡ ἀδικία ἰσχυρότερον δικαιοσύνης τε καὶ ἀληθείας, καὶ ὅτι οὐκ ἔστι Θεὸς ἀληθὴς καὶ δίκαιος. Εἰ γὰρ ἦν, ἐπεκράτουν ἂν Ἰουδαῖοι τοῦ Χριστιανισμοῦ, καὶ ἔπνιγον ἂν αὐτὸν ἔτι ὄντα ἐν σπαργάνοις, χρώμενοι κατ' αὐτοῦ καὶ ἀληθείᾳ, καὶ δικαιοσύνῃ, καὶ πυρί, καὶ μαχαίρᾳ, καὶ συμμάχοις ὅτι πλείστοις. Ἐπειδὴ λοιπὸν ὃν λόγον ἔχει τὸ ὁμολογῆσαι Θεὸν πρὸς τὸ ὁμολογῆσαι τὸν Χριστὸν Θεόν, τὸν αὐτὸν λόγον ἔχει καὶ τὸ ἀρνήσασθαι τὴν θεότητα τοῦ Χριστοῦ πρὸς τὴν ἀθείαν, ἤγουν, ἐπειδὴ ὁ ὁμολογῶν εἶναι Θεὸν πείθεται νόμῳ λογικῆς συνομολογῆσαι καὶ τὸν Χριστὸν εἶναι Θεόν, ὁ δὲ τὴν θεότητα τοῦ Χριστοῦ ἀρνούμενος ἀναγκάζεται ὑπὸ τῆς λογικῆς ἀρνήσασθαι τὴν ὕπαρξιν ἐν γένει τοῦ Θεοῦ, διὰ ταῦτα ἀναθετέον καὶ αὖθις τῷ ἐν ἀρχῇ Θεῷ Λόγῳ καὶ τὸ ἀνάθημα τόδε·

ΕΙ ΜΗ ΘΕΟΣ Ο ΧΡΙΣΤΟΣ ΟΥΔΕ ΕΣΤΙ ΘΕΟΣ.

ΑΛΛΑ ΜΗΝ ΕΣΤΙ ΘΕΟΣ.

ΑΡΑ ΚΑΙ ΘΕΟΣ Ο ΧΡΙΣΤΟΣ.

Ἰδοὺ ὁ ἀποχρῶν λόγος δι' ὃν τὸ ἀσεβὲς τοῦ Διαβόλου σχολεῖον ἀρνησάμενον κατ' ἀρχὰς τὴν θεότητα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐξέχεεν ἔπειτα εἰς τὰς ἀνθρωπίνους ἀκοάς, ὥσπερ ἐξέχεε τὸν ἰὸν ὁ ὄφις ἀκοαῖς ταῖς τῆς Εὔας ποτέ, ὅτι οὐκ ἔστι Θεός, οὐδὲ ἀπόλυτος δικαιοσύνη, οὐδὲ μέλλουσα δίκη τῶν βεβιωμένων· ὅτι τὸ πᾶν ἐστιν ἀλληλουχία τις ὄντων καθ' ὑπαλληλίαν τεταγμένων

(ὑπὸ τίνος ὅμως ἀγνοοῦντες) ἐν ᾗ ὁ ἄνθρωπος κατέχει ἀνωτέραν τινὰ ἢ τὴν ἀνωτάτην βαθμίδα, ὑποκείμενος, ὡς πάντα, εἰς γέννησιν καὶ φθοράν. Ὁ πρῶτος κανὼν καὶ ἡ πρώτη ἀρχὴ, καθ' ἣν ὀφείλει διεξάγειν τὰ ἑαυτοῦ ἐν τῷδε τῷ βίῳ, ἐστὶ τὸ συμφέρον. Ἡ Θρησκεία, καθὼς πάντα, ἐστὶν ἐπινόημα ἀνθρώπινον χάριν συμφέροντος ὡς οὐράνιος χαρακτηρισθεῖσα, καὶ σεβαστέον αὐτὴν μόνον χάριν συμφέροντος. Ὁ νόμος τῆς προόδου καὶ τῆς τελειοποιήσεως ἰσχύει καὶ κατ' αὐτῆς, καθὼς εἰς πάσας τὰς τέχνας καὶ ἐπιστήμας τὰς ἐπινοηθείσας ὑπὸ τοῦ ἀνθρωπίνου νοός. Ἡ λεγομένη ἀρετὴ ἐστι διωκτέα χάριν συμφέροντος, καὶ ἡ λεγομένη κακία φευκτέα χάριν τοῦ αὐτοῦ συμφέροντος· οὐδὲν δὲ καθ' ἑαυτὸ ἀγαθὸν καὶ οὐδὲν κακὸν, ἀλλὰ νόμῳ καλόν, νόμῳ κακόν, ὥςπερ ἔλεγον καὶ οἱ πάλαι σοφισταί. Ταῦτα, καὶ τὰ ὅμοια τούτοις ἐκ τοῦ Διαβόλου εἰσδεξάμενοι, ὃν οὐκ οἴδασι καὶ ὃν ἀγνοοῦσι, ὅτι σκότος ἐστί, καὶ τοῦ σκότους προστάτης, ἅτινα καὶ πολλοὶ ἄλλοι, πατέρες αὐτῶν δυνάμενοι κληθῆναι, ἐκ τῆς αὐτῆς πηγῆς ποτισθέντες ἐξήμεσαν κατὰ καιροὺς ἐπὶ τῷ δηλητηριάζειν τοὺς ὀσφραινομένους, ᾠήθησαν σοφοί τινες εἶναι καὶ φωτισταὶ τῶν ἐν σκότει τοσούτους αἰῶνας καθημένων. Καὶ κατὰ τὸ γεγραμμένον, Πονηροὶ δὲ ἄνθρωποι καὶ γόητες προκόψουσιν ἐπὶ τὸ χεῖρον πλανῶντες καὶ πλανώμενοι, ἀπεπλάνησαν τὸ πλεῖστον τῶν ἀνθρώπων ὀπίσω αὐτῶν, καὶ ὤθησαν τὰς κοινωνίας κατὰ κρημνοῦ εἰς ἀπώλειαν. Διότι θέμενοι φραγμοὺς μεταξὺ τοῦ οὐρανοῦ καὶ τῆς γῆς, καὶ Θεὸν μὴ φοβεῖσθαι διδάξαντες, ἔπεισαν τοὺς ἀνθρώπους θεωρεῖν ὡς τελικὸν σκοπὸν τῆς ἑαυτῶν ὑπάρξεως τὸ συμφέρον, ἤτοι τὴν ἐν σώματι εὐζωίαν, καὶ πολιτεύεσθαι οὐχὶ κατὰ τοὺς αἰωνίους νόμους τῆς δικαιοσύνης, ἀλλὰ κατὰ τὴν φορὰν τοῦ ἀστάτου συμφέροντος. Τί δὲ ἕπεται ἐκ ταύτης τῆς ὀλεθρίου ἀρχῆς; Ὥςπερ ἐν τοῖς ἔμπροσθεν ἐξηγηθήσεται, ἐν μὲν ταῖς μερικαῖς κοινωνίαις ἀκατάπαυστος μάχη τῶν ἀτόμων διὰ δόλου καὶ πονηρίας, ἐν δὲ τῇ καθόλου κοινωνίᾳ ἀκατάπαυστος πόλεμος μεταξὺ τῶν κυβερνήσεων διὰ δόλου μὲν καὶ πονηρίας, ὅτε οὐ συμφέρει διὰ τῶν ὅπλων, διὰ πολέμου δὲ καὶ μάχης, ὅτε ὁ δόλος καὶ ἡ πονηρία οὐδὲν κατορθοῖ.

SISMANOGLIO MEGARO



Διότι πᾶς τις θεωρεῖ τὸ ἑαυτοῦ συμφέρον ἐν τῇ τοῦ ἑτέρου ἐξασθενήσει ἢ καταστροφῇ, καὶ πάντες ἀλλήλους ἐπιβουλεύουσι, καὶ πάντες δάκνουσιν ἀλλήλους, καὶ ὑπ' ἀλλήλων ἑπομένως καταφαγωθήσονται, ὥςπερ οἱ σπαρτοὶ ἐκεῖνοι δράκοντες. Ἀλλὰ σύνετε δὴ ταῦτα υἱοὶ τῶν ἀνθρώπων, καὶ ἐπιστράφητε πρὸς Κύριον τὸν Θεὸν ἡμῶν, ὅτι οἰκτίρμων καὶ ἐλεήμων ἐστί, καὶ ἐπὶ πολὺ ἀφήσει τὰς ἁμαρτίας ὑμῶν. Ἀκούσατε τῆς φωνῆς Κυρίου τοῦ Θεοῦ ἡμῶν, ἵνα καὶ τὰ ἀγαθὰ τῆς γῆς φάγητε ἐν εἰρήνῃ, καὶ τὴν αἰώνιον βασιλείαν κληρονομήσητε· ὅτι οὕτως ἐπαγγέλλεται ἡ ἀψευδὴς Ἀλήθεια. «Ζητεῖτε πρῶτον τὴν βασιλείαν τοῦ Θεοῦ καὶ τὴν δικαιοσύνην αὐτοῦ, καὶ ταῦτα πάντα προςεθήσεται ὑμῖν.» Ἐὰν δὲ μὴ θέλητε μηδὲ εἰσακούσητε τῆς φωνῆς Κυρίου τοῦ Θεοῦ ἡμῶν, μάχαιρα ὑμᾶς κατέδεται. Καὶ κατὰ τὴν σκληρότητα καὶ ἀμετανόητον ὑμῶν καρδίαν θησαυρίζετε ὀργὴν ἐν ἡμέρᾳ ὀργῆς καὶ ἀποκαλύψεως δικαιοκρισίας, ὅτε Κύριος κρινεῖ τὴν οἰκουμένην ἐν δικαιοσύνῃ, καὶ ἀποδώσει ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ. Κατανοήσατε ὅτι τὸ ἔλεος τοῦ Θεοῦ καταδιώκει ὑμᾶς πάσας τὰς ἡμέρας τῆς ζωῆς ὑμῶν, καὶ ὅτι οὐ παύεται ἡ ἄγρυπνος τοῦ Θεοῦ πρόνοια ποιοῦσα πάντα τὰ δυνάμενα βουλομένους ὑμᾶς ἄξαι καὶ φωτίσαι καὶ σοφίσαι εἰς σωτηρίαν.

Παιδὸς ἦγον ἡλικίαν, καὶ ἡ ψυχή μου ἐξεκρέματο ἐκ τοῦ γλυκυτάτου ὀνόματος τοῦ φιλανθρώπου Σωτῆρος, ἐξ οὗ ἤλπιζον, ὅ,τι ἂν ἤλπιζον. Ἀνεγίνωσκον ἐν προθυμίᾳ ψυχῆς τοὺς ὑπὲρ Χριστοῦ ἄθλους τῶν μαρτύρων, καὶ ἐκπληττόμενος ἐπὶ τῇ πωρώσει τῆς καρδίας τῶν διωκτῶν τῆς πίστεως διετιθέμην συμπαθῶς πρὸς τοὺς γενναίους ἀθλητὰς, καὶ ᾐσθανόμην ἀναπτυσσομένην καὶ ἐν ἐμοὶ τὴν ἔφεσιν τῆς ἀπολαύσεως, εἴ ποτε δυνατόν, τοῦ μαρτυρικοῦ θανάτου. Περάνας τὰ ἐν τῇ ἐμῇ πατρίδι παραδιδόμενα σχολιακὰ μαθήματα ἐξῆλθον τῆς φίλης μοι ἐκείνης γῆς μαθήσεως ἔφεσιν ἔχων, καὶ ἐν τῇ κλεινῇ Κωνσταντινουπόλει παραγενόμενος ἐμαθήτευσα ἐν τῇ κατὰ τὴ Ξηροκρήνῃ λεγομένῃ μεγάλῃ τοῦ Γένους Σχολῇ. Ἐνταῦθα πρῶτον ἔμαθον ἀκοῇ, ὅτι οἱ ἐν Εὐρώπῃ σοφοὶ ἀρνοῦνται

τὴν θεότητα τοῦ Χριστοῦ, καὶ ἠπόρουν κατ' ἐμαυτὸν ἐγὼ λέγων, πῶς ἐνώπιον τοσούτων θαυμάτων καὶ μαρτυρικῶν αἱμάτων, ἐφ' ὧν ἐγὼ ἐστήριζον τὴν εἰς Χριστὸν πίστιν, ἠδύναντο ἄνδρες σοφοὶ ἀπιστεῖν τῷ Χριστῷ! Ἡ ἀκρόασις φιλοσοφικῶν μαθημάτων, ἡ ἀνάγνωσις συγγραμμάτων ὑπέρ τε καὶ κατά, αἱ γινόμεναι συνδιαλέξεις ἐπὶ τοῦ ἀντικειμένου τούτου, ἔδωκάν μοι γνῶναι οἷα τὰ βέλη τοῦ πονηροῦ τὰ πεπυρωμένα, τὰ ἐκτοξευόμενα κατὰ τῆς ἀμώμου ἡμῶν πίστεως. Καὶ ἐδεήθην τοῦ Κυρίου ἐξ ὅλης μου τῆς καρδίας, καὶ εἶπον· Δός μοι, Κύριέ μου, στόμα καὶ σοφίαν τοῦ ἐμφράξαι καὶ φιμῶσαι πάντα τὰ στόματα τῶν ἐχθρῶν, ὅτι ἐζήλωσα ἐγὼ ὑπὲρ τοῦ ὀνόματός σου καὶ τῆς δόξης σου, εἰδώς σε ἀλήθειαν καὶ Κύριον καὶ Θεόν. Καὶ χρόνῳ δέδωκέ μοι Κύριος ὑπερεκπερισσοῦ ὧν ᾔτησα ἢ ἐνόησα, καὶ ἐν τούτῳ ἔγνων, ὅτι Ἰησοῦς Χριστὸς χθὲς καὶ σήμερον ὁ αὐτὸς καὶ εἰς τοὺς αἰῶνας, ἐπακούων τὰς δεήσεις τῶν ἐπικαλουμένων μικρῶν τε καὶ μεγάλων. Καὶ ὅτι Κύριος ἐξελέξατό με, καὶ μαθητὴν αὐτοῦ καὶ διάκονον πεποίηκέ με, δέδωκέ μοι θεωρῆσαι τὴν δόξαν αὐτοῦ τὴν αἰώνιον, ἣν ἔχει παρὰ τοῦ Πατρὸς τοῦ ἀγαπήσαντος αὐτὸν πρὸ καταβολῆς κόσμου, ὅτι οὕτως ηὔξατο περὶ ὧν δέδωκεν αὐτῷ ὁ Πατὴρ κατὰ τὴν παραμονὴν τοῦ σεπτοῦ αὐτοῦ πάθους. Πάτερ, οὓς δέδωκάς μοι θέλω, ἵνα, ὅπου εἰμὶ ἐγώ, κἀκεῖνοι ὦσι μετ' ἐμοῦ, ἵνα θεωρῶσι τὴν δόξαν τὴν ἐμήν, ἣν δέδωκάς μοι, ὅτι ἠγάπησάς με πρὸ καταβολῆς κόσμου. Καὶ ἐγώ, κατὰ τὴν εὐχὴν ταύτην τοῦ Κυρίου μου, ἐθεώρησα αὐτὸν καθολικὸν Λόγον, δι' οὗ πάντα διανενόηται καὶ διατέτακται καὶ προώρισται· καθολικὴν ἀλήθειαν ἐξηγοῦσαν πᾶσαν ἀλήθειαν καὶ πληροῦσαν τὴν ἄπειρον ἔφεσιν τοῦ εἰδέναι, ἧς πᾶς ἄνθρωπος εὐμοιρεῖ φύσει. Ἐθεώρησα αὐτὸν καθολικὸν νόμον ἐνεργείας, δι' οὗ πάντα ἐγένετο, καὶ χωρὶς αὐτοῦ οὐδὲν ἐγένετο, ὧν ἐγένοντο, καὶ χωρὶς αὐτοῦ οὐδὲν δύναται γενέσθαι. Καὶ ἐθεώρησα αὐτὸν ἀπόλυτον ἀγαθὸν πληροῦν τὰς χρείας πάσας πάντων τῶν ἐνδεῶν κτισμάτων, καὶ ὅτι δι' αὐτοῦ σώζεται, πᾶν ὅ,τι ἂν σώζηται. Ἐθεώρησα αὐτὸν ὡς ὑπέρκαλον κάλλος, ἀντικείμενον αἰώνιον τέρψεως τοῦ Θεοῦ καὶ Πα-

SISMANOGLIO



τρός, ἀνάπαυσιν τοῦ Ἁγίου Πνεύματος, ἐν αὐτῷ τερπομένους τε καὶ ἐπαναπαυομένους ἀγγέλους τε καὶ ἀνθρώπους. Ἐθεώρησα αὐτὸν δεσμὸν μεταξὺ τοῦ Θεοῦ καὶ τοῦ κόσμου, καθολικόν τε κέντρον περὶ ὃ ςρέφονται καὶ κυκλοῦνται πάντα. Καὶ ἐν τῷ θεωρεῖν με τὴν δόξαν ταύτην τοῦ Κυρίου μου, διέκυψα ἐπὶ τοὺς υἱοὺς τῶν ἀνθρώπων τοὺς κατοικοῦντας ἐν τῇ γῇ, καὶ εἶδον, τοὺς μὲν φιλοσοφοῦντας εἰς λαβύρινθον πλάνης, ἀρνουμένους τὴν καθολικὴν ἀλήθειαν καὶ μὴ δυναμένους ἰδεῖν μηδεμίαν ἀλήθειαν, τοὺς δὲ βασιλεύοντας καὶ κυβερνῶντας παρανομοῦντας ἐν τῇ πράξει διὰ τὸ μὴ εἶναι ὑποτεταγμένους τῷ καθολικῷ τῆς ἐνεργείας νόμῳ, τοὺς δὲ λαοὺς ἐνδεεῖς καὶ κατατρυχωμένους δι' ἄγνο.αν τοῦ πληροῦντος πᾶσαν χρείαν ἀγαθοῦ. Εἶδον ἐν τῇ λεγομένῃ Ἐκκλησίᾳ ποῦ μὲν τὴν αἵρεσιν, ποῦ δὲ τὴν φαυλοβιότητα, ποῦ δὲ καὶ ἀμφότερα. Εἶδον ἐν τῷ φωτὶ τὸ σκότος. Εἶδον πᾶσαν τὴν ἀνθρωπότητα διαμεμερισμένην, συγκεχυμένην, συγκρουομένην, δειναῖς μάστιξι μαστιζομένην οἷον πλάνῃ, ἀνομίᾳ, ἐνδείᾳ, αἱρέσει, φαυλοβιότητι, καὶ ἐθλίβην τῷ πνεύματι καὶ ἐστέναξα, καὶ ἐδεήθην τοῦ Κυρίου περὶ σωτηρίας πάσης ψυχῆς ζώσης κινουμένης ἐπὶ τῆς γῆς καὶ εἶπα· Κύριε, εἰ βουληθεὶς ἀπεκύησας ἡμᾶς λόγῳ ἀληθείας, ὁδήγησον ἡμᾶς ἐπὶ τὴν ἀλήθειάν σου, ἐπὶ τὸν Υἱὸν καὶ Λόγον σου, καὶ σύναψον ἡμᾶς μετ' αὐτοῦ συναφείᾳ καὶ δεσμῷ ἀδιαῤῥήκτῳ ἐν πνεύματι ἀγάπης. Καὶ συνέλαβεν ἡ ψυχή μου τὴν ἐπιθυμίαν τοῦ εὐδαιμονῆσαι ἐν Χριστῷ πᾶσαν τὴν ἐπὶ γῆς ἀνθρωπότητα, καὶ ἔκτοτε τὴν πλήρωσιν τῆς ἐπιθυμίας ταύτης ἐπεδίωξα τῇ δυνάμει ᾗ δέδωκέ μοι Κύριος, καὶ ταύτην ἐπιδιώξω, ἕως ἂν τελέσῃ Κύριος αὐτήν, ὅτι τοῦ Κυρίου ἐπιθυμία ἐστίν, καὶ ἐγὼ ταύτην οὐκ εἶχον πρότερον, ἀλλὰ Κύριος ἐνέβαλέ μοι. Καὶ πρῶτον μὲν θεωρῶν τὰ ἐν ἀνθρώποις κακὰ ἐδεόμην τοῦ Κυρίου θεραπεῦσαι αὐτά, οἷς οἶδε τρόποις, ὅτι Θεὸς γνώσεων Κύριος, Θεὸς ἑτοιμάζων ἐπιτηδεύματα αὐτοῦ. Ἐγὼ δὲ κατὰ τὸ δυνατὸν διετέλουν ἐργαζόμενος ἐπὶ τοὺς παῖδας τὴν κατὰ Χριστὸν ὠφέλειαν. Ἀλλ' ὅτε ἀπήντησα πρόσκομμα τὴν ἔξω κακίαν καὶ διαφθοράν, συνῆκα, ὅτι, ὅταν τὸ σῶμα πάσχῃ ἐν τοῖς

καιρίοις τῶν μελῶν, κατά τε κεφαλὴν καὶ καρδίαν, καὶ ματαία, καὶ ἀδύνατος ἀποβαίνει ἡ κατὰ τὰ ἕτερα μέλη θεραπεία. Συνῆκα τὸ ἐν Εὐαγγελίοις εἰρημένον, ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν θησαυρῷ κεκρυμμένῳ, καὶ διατί ὁ Χριστὸς καίτοι φαινόμενος καὶ λαλῶν ἐκάλει ἑαυτὸν θησαυρὸν κεκρυμμένον, καὶ ἐπείσθην ὅτι καὶ παρ' ἡμῖν ἤδη κέκρυπται ὁ Χριστός, ὥςπερ ἦν κεκρυμμένος καὶ ἐν οἷς ἐλάλει Ἰουδαίοις. Συνέγραψα ἑπομένως ὀλιγοσέλιδόν τινα συγγραφὴν ἣν ἐκάλεσα ἀποκάλυψιν τοῦ θησαυροῦ τοῦ κεκρυμμένου, ἐν ᾗ ἐν γένει περιέγραψα τὰς τρεῖς ἀρχικὰς ἐπιθυμίας τοῦ ἀνθρώπου, ἤγουν τὴν ἔφεσιν τοῦ αἰωνίως ζῆν, τοῦ πάντα εἰδέναι, καὶ τοῦ νομίμως ἐνεργεῖν, ἐξήγησα τὴν φύσιν τοῦ ἀντικειμένου, ὅπερ καλεῖται Χριστός, καὶ ἔδειξα τὸν τρόπον δι' οὗ ἐν αὐτῷ πληροῖ ὁ ἄνθρωπος τὰς ἑαυτοῦ ἐφέσεις, καὶ γίνεται μακάριος. Ὕμνησα δὲ ἐν αὐτῇ καὶ ἐπῄνεσα Κύριον τὸν Θεόν, ὅςτις ἐμβαλὼν εἰς τὴν ψυχὴν τοιαύτας εὐγενεῖς ἐπιθυμίας δέδωκε καὶ τοιοῦτον εὐγενέστατον ἀντικείμενον τοῦ πληρωθῆναι αὐτάς. Ἀλλ' οὐκ εἶδον ἣν ἤλπιζον ἐξ αὐτοῦ ὠφέλειαν, ὅτι οἱ ἄνθρωποι οὐ βλέπουσιν ἐν οἷς εἰσι κακοῖς, ὥςπερ ἐγὼ βλέπω αὐτούς, καὶ οὐ βούλονται γνῶναι ὅτι, τό γε ἐπ' αὐτοῖς, Χριστός ἐστι θησαυρὸς κεκρυμμένος, καὶ ὀφείλουσι ζητῆσαι ἵνα εὕρωσιν αὐτόν. Καὶ ὅτι οὐ νοοῦσι τὸ μέγεθος τῆς θείας χάριτος, διὰ τοῦτο ψυχρῶς διάκεινται πρὸς τὴν τῶν θείων ὕμνων ἀκρόασιν. Ἀλλ' οὐ παύσομαί γε ἐγὼ τὰ ἐμαυτοῦ ποιῶν κατὰ τὴν ἐπιθυμίαν καὶ τὴν βουλὴν τοῦ Κυρίου μου, τὸ ἀποτέλεσμα καὶ τὴν ἔκβασιν ἐξ ἐκείνου ἀναμένων. Διὰ τοῦτο, ἐπειδὴ ἤκουον ἀκοῇ, ὅτι οἱ ἐν Ἀθήναις ὁμογενεῖς τὴν ἐκ τῆς Δύσεως κακοφροσύνην ποτισθέντες ἐναυάγησαν περὶ τὴν πίστιν, ὅτι ἀφ' ἕδρας μεταδίδεται τὸ μίασμα τῇ νεότητι, ἀνεγίνωσκόν τε εἴς τινας τῶν ἐκεῖ ἐφημερίδων, ὅτι τῶν πλείστων λογίων αἱ θρησκευτικαὶ πεποιθήσεις εἰσὶν ἐκλονισμέναι, καὶ ὅτι κακῶς ἔχουσιν ἐν αὐτοῖς ἐν γένει τὰ ἀφορῶντα τὴν θρησκευτικὴν ἀγωγήν, διὰ ταῦτα παρεγενόμην εἰς Ἀθήνας θείῳ ζήλῳ κινούμενος, ἵνα ἐξηγήσω τοῖς ἐκεῖ ἀπὸ τοῦ βήματος διὰ λόγου ζῶντος τὸ ἐν Χριςῷ μεγαλεῖον τῆς ἡμετέρας φυλῆς, καὶ ἑλκύσω αὐτοὺς εἰς ἐπιςροφὴν καὶ μετάνοιαν. Ἄγνωστος τοῖς ἐκεῖ πᾶσι, παραγενόμενος ἐπ' ὠφελείᾳ κοινῇ, ὤφειλον δηλῶσαι ἣν εἶχον πρόθεσιν τῷ κοινῷ, καὶ ἐδήλωσα ταύτην διὰ τῆς ἐφημερίδος, Αὐγή, ἐν τούτοις τοῖς ῥήμασι:

SISMANOGLIO



## Τῇ Αὐγῇ ἐπὶ τὸ ἀναγγεῖλαι τὰ ῥήματα ταῦτα πρὸς ἅπαντα τὸν Ἑλληνικὸν λαόν.

Νόμος τοῦ Δημιουργοῦ τῶν ὅλων ἐπὶ πάντα ἄνθρωπον νενομοθέτηται ὁ δε· ἕκαστον ἄνθρωπον ἣν ἔχει ἱκανότητα καὶ τέχνην ἐπιδείκνυσθαι αὐτὴν ἔμπροσθεν τῶν ὁμοίων ἀνθρώπων, ἵνα ἐξ αὐτοῦ ἔχωσιν ὠφελεῖσθαι, καθ' ὅσον χρήζουσι, καὶ χαίρειν ἐπαινουμένων ὡς ὠφελίμων τῶν ἔργων ἢ προσόντων αὐτοῦ. Ἡ πρόθεσις ἣν ἔχω, ἥ τε νοημοσύνη πρὸς οὓς ἀποτείνεται ὁ λόγος, οὐκ ἐπιτρέπουσί μοι ἐξηγεῖν, ὅτι ὁ νόμος οὗτός ἐστι τῆς κοινωνίας ἡ ἀναγκαιοτάτη συνθήκη, οὗ χωρίς, οὔτε πρόοδος κοινωνίας, ἀλλ' οὐδὲ κοινωνία. Ἀρκοῦμαι μόνον εἰπεῖν, ὅτι ὁ νόμος οὗτος τοῦ δημιουργήματός ἐστι καὶ νόμος αὐτοῦ τοῦ Δημιουργοῦ. Καὶ γὰρ ἐπιδεικνὺς ἡμῖν τὸν περὶ ἡμᾶς τοῦτον ἐναρμόνιον κόσμον βούλεται ἡμᾶς ὠφελεῖσθαι ἐξ αὐτοῦ, καθ' ὃ ἕκαςος χρήζει, καὶ ἔτι μᾶλλον ἐκ τῶν προσόντων τῆς ἀϊδίου αὐτοῦ φύσεως, ὡς εἰ ἡμῖν ἔλεγεν, εἰ τὸ ἔργον μου ἡμῖν ὠφέλιμον, ἐγὼ πόσῳ μᾶλλον; « Ἐκζητήσατε τὸν Κύριον, καὶ ζήσεται ἡ ψυχὴ ἡμῶν. » Ὅτι δὲ καὶ χαίρει αὐτός τε ἐπαινούμενος καὶ τὸ ἔργον αὐτοῦ, παντί που δῆλον μελῳδοῦντι· « Αἰνέσω τὸ ὄνομα τοῦ Θεοῦ μου μετ' ᾠδῆς, μεγαλυνῶ αὐτὸν ἐν αἰνέσει, καὶ ἀρέσει τῷ Θεῷ ὑπὲρ μόσχον νέον κέρατα ἐκφέροντα καὶ ὁπλάς. Αἰνεῖτε τὸν Κύριον, ὅτι ἀγαθὸς Κύριος. » Κἀγὼ τοίνυν μὴ δυνάμενος ἔχειν ἄλλως ἢ ὑπόκεισθαι ὑπὸ τὸ κράτος τοῦ θείου τούτου νόμου, φιλοτεχνήσας φιλοτέχνημα διανοητικῆς φύσεως, συνείδησίν τε ἔχων τῶν προσόντων οἷς κεκόσμηκέ με ἡ ἄφθονος τοῦ Θεοῦ χάρις, ἐπ' ὠφελείᾳ τε καὶ ἀγαθῷ τοῦ πλησίον, παρεγενόμην πρὸς ὑμᾶς τοὺς ὁμογενεῖς καὶ συμπο-

λίτας μου, ἵνα ἐπιδείξω αὐτό τε καὶ ἐμαυτόν, ἵνα ὑμεῖς ἔχητε ὠφελεῖσθαι ἔκ τε ἐμοῦ καὶ τοῦ ἔργου μου, καθ' ὃ ἂν χρήζητε. Ἰδοὺ τὸ ποιητικὸν καὶ τὸ τελικὸν αἴτιον τῆς ἐμῆς ἀποφάσεώς τε καὶ πράξεως. Λοιπόν, ὦ ἔθνος μου, καὶ ὦ φυλή μου, δεῦρο ἐκκλησιάσθητι περὶ ἐμέ, ἵνα ἐγὼ μὲν ἀποδῷ ὑμῖν τὰ ὀφειλόμενα, ὅτι Κύριος ὀφειλέτην πᾶσιν ὑμῖν πεποίηκέ με, ὑμεῖς δὲ ἀκούσητε, τὰ ἔλδεται φίλον ἦτορ ἤματα πάντα, ὅσα ἐπιποθεῖ ἡ ψυχή σου πάσας τὰς ἡμέρας τῆς ζωῆς σου. Ὁριστέα δὲ πρὸς τοῦτο τόπος καὶ χρόνος, εἰ καὶ ὑμῖν οὕτω δοκεῖ, ἡ ἕκτη Αὐγούστου, ὁ ναὸς τῆς Ἁγίας Εἰρήνης, ὁ χρόνος ἐν ᾧ πέρας λαμβάνει τὸ σέμνωμα ἡμῶν, ἡ θεία καὶ ἱερὰ μυσταγωγία.

Μετὰ τὴν δήλωσιν ταύτην ἔκρινα ζητῆσαι τὴν ἄδειαν τοῦ ἀναβῆναι ἐπὶ τοῦ βήματος παρὰ τῆς ἀρχῆς· ἀλλ' ἀποτυχὼν παρ' ἐλπίδα, ἔγραψα ἐν τῇ αὐτῇ ἐφημερίδι καὶ τάδε.

Εἴ τις σοφὸς καὶ ἐπιστήμων ἐν τῇ πόλει ταύτῃ, νοείτω καὶ κρινέτω ἃ λέγω.

Αἱ μεγάλαι ἐν τῷ κόσμῳ καὶ ταῖς κοινωνίαις ἀλλοιώσεις καὶ μεταβολαὶ προῆλθον οὐχί, ὥς τισιν ἴσως δοκεῖ, ἐκ τῆς ἰσχύος τῶν ὅπλων, ἀλλ' ἐκ τῆς ἰσχύος τῶν ἰδεῶν. Τὸ Ἑλληνικὸν ἔθνος ἐπηρέασε τὰς κοινωνίας, ἀρχαίας τε καὶ νέας, διὰ τῆς ἰσχύος τῶν ἰδεῶν μᾶλλον ἢ τῶν ὅπλων, καὶ ὁ Χριστιανισμὸς ἐπέφερε ῥιζικὴν ἐν τῷ κόσμῳ μεταβολὴν διὰ τοῦ κηρύγματος τῶν Ἁλιέων, καθ' οὗ οὐδὲν ἠδυνήθη ἡ βία καὶ τῶν τυράννων ἡ δύναμις. Καὶ σήμερον δυνάμει τοῦ αὐτοῦ ἱστορικοῦ νόμου ἰσχὺς ἰδεῶν καὶ οὐχὶ ὅπλων ὥρισται, ἵνα ἐπενέγκῃ τὴν προσδοκωμένην ἐν τῷ κόσμῳ μεταβολήν, καὶ ἡμεῖς, ὥς περ πάλαι, οὕτω καὶ νῦν, Θεοῦ εὐδοκοῦντος, ἕξομεν τὸ καύχημα τοῦτο. Γνωστὸν ἔστω πᾶσιν ὑμῖν, ὅτι Κύριος ὁ Θεὸς ὁ τὴν Νέαν Διαθήκην διαθέμενος μετὰ τῶν πατέρων ἡμῶν, οἵτινες ἠγωνίσαντο μέχρις αἵματος ὑπὲρ τῆς αἰωνίου ἀληθείας, Κύριος ὁ Θεὸς δέδωκεν ἐν τῇ διανοίᾳ μου πνεῦμα συνέσεως καὶ ἐπιστήμης, τοῦ γενναίως προμαχῆσαι πρὸ δικαιοσύνης τε καὶ ἀληθείας, ἣν



ἀφρόνως ἐξουθένησαν οἱ υἱοὶ τῶν ἀφρόνων. Διενοήθην, καθ' ἃ διεδήλωσα ἐν τῇ Αὐγῇ τῆς 29 Ἰουλίου, ἀπὸ τοῦ βήματος τῆς Ἁγίας Εἰρήνης διαδοῦναι ἰδέας εἰς ἅπαν τὸ Ἑλληνικόν, σοφόν τε καὶ μή, αἵτινες οὐχὶ μόνον τὴν κοινωνίαν ταύτην, τὴν πανταχόθεν καταρρέουσαν, ὠφελήσουσι σωτηριώδη ὠφέλειαν, ἀλλὰ καὶ εἰς τὰς Εὐρωπαϊκὰς κοινωνίας τὰς καθ' ἑκάστην σαλευομένας καὶ κλονιζομένας ἔσονται στήριγμα καὶ νόμος. Ἀμήν. Ἀλλὰ μεγάλως ἐξεπλάγην ἰδὼν τὴν ἱεράν μου πρόθεσιν κωλυομένην ὑπὸ τῆς ἀρχῆς τῆς ὀφειλούσης ἀσμένως ὑποδέξασθαι ταύτην. Ἐξηγησάτω αὕτη εἰς τὸ δημόσιον, τί κακὸν προβλέπουσα ἐκ τῆς ἐμῆς προθέσεως ἐκώλυσε ταύτην. Ἄλλως, ἔξω ἐγὼ τὸ δικαίωμα σχολιάσαι τὴν πρᾶξιν ταύτην κατὰ τὸ ἐμοὶ δοκοῦν. Ἀποτείνομαι ὅμως πρὸς ὑμᾶς τοὺς ὁμογενεῖς καὶ συμπολίτας μου, καὶ παρακαλῶ τὸν τύπον, τὴν ἔκφρασιν τῆς κοινῆς γνώμης, ἵνα δηλώσῃ, εἰ ἔχει τὸ κοινὸν προθυμίαν ἀκοῦσαι παρ' ἐμοῦ ῥήματα ἐθνοσωτήρια ἐν ταῖς ἡμέραις ταύταις, ὅσον ἐγὼ ἐφίεμαι τοιαῦτα εἰπεῖν καὶ μεταδοῦναι αὐτοῖς. Παρακαλῶ ἔτι, εἴ τις φρονεῖ, ὥς περ ἐγώ, ὅτι δυνάμει μεγάλων ἰδεῶν καὶ νοημάτων θείων ἀπολαύσομεν, ὧν ἔλδεται φίλον ἦτορ ἤματα πάντα, ταχθῆναι ὑπὸ τὴν αὐτὴν σημαίαν, ὅτι ὁ πόλεμος τῶν ἰδεῶν δεῖται συμμάχων ἀγαθῶν καὶ γενναίων μᾶλλον, ἢ ὁ τῶν ὅπλων.

Μετὰ δὲ τοῦτο παρεγενόμην καὶ πάλιν εἰς τὴν ἀρχὴν ἐπὶ τῇ παραχωρήσει τῆς ἀδείας, ἔλεγον γάρ, ἴσως ἐπῆλθεν αὐτῇ μεταμέλος. Τὸ δὲ ἀποτέλεσμα κατεχώρησα εἰς παράρτημα τῆς αὐτῆς ἐφημερίδος ἔχον ὧδε·

*Κύριε συντάκτα τῆς Αὐγῆς,*

Αἰτησάμενος τὸ πρῶτον τὴν ἄδειαν τοῦ ἀναβῆναι ἐπὶ τοῦ ἐκκλησιαστικοῦ βήματος παρὰ τοῦ ἁγίου Οἰκονόμου ἔλαβον ὅλως ἀρνητικὴν ἀπάντησιν. Αἰτησάμενος καὶ δεύτερον παρὰ τοῦ αὐτοῦ

ἤκουσα ὅτι πρέπει δι' ἀναφορᾶς, ἵνα αἰτήσωμαι ταύτην παρὰ τῆς αὐτοῦ Πανιερότητος. Ἐποίησα ταύτην, ὡς ἐκτίθεται κατωτέρω, καὶ μοὶ ἐνεχειρίσθη ἔπειτα ὑπό τινος ὑπηρέτου λέγοντος, ὅτι ἡ Α. Π. ἀπέῤῥιψε ταύτην, διότι ἐστὲ λαϊκός. Ὀλίγον φαίνεται ἐνόησε τὰ ῥητὰ τοῦ Ἀποστόλου Παύλου, δι' ὧν ἐπιτρέπει εἰς πάντας τοὺς συνερχομένους Χριστιανούς, τοὺς ἔχοντας διδαχὴν ἢ λόγον σοφίας, λαλεῖν ἐπ' Ἐκκλησίας. Ἀλλ' ἐπειδὴ οὐκ ἔπεισα ἐξ Ἀποστολικῶν ῥητῶν, πείθω ἐκ παραδειγμάτων.

Τὸ Ἑλληνικὸν ἔθνος, τυχὸν κλήρου ἀμαθοῦς καὶ ἀπαιδεύτου, ἤκουεν ἐπὶ Τουρκοκρατίας τὸν λόγον τοῦ Θεοῦ ὑπὸ τῶν τοῦ ἔθνους διδασκάλων ἐπ' Ἐκκλησίας λαϊκῶν ὄντων, καὶ ὁ ἐνταῦθα κύριος Κοντογόνης καθηγητὴς τῆς Θεολογίας λαϊκὸς ὢν ἐλάλησε πολλάκις ἐπ' Ἐκκλησίας, καὶ ἐγώ, διατελέσας παρὰ τῷ ἁγίῳ Μεθύμνης, ἀνέβην πολλάκις τὸ ἐκκλησιαστικὸν βῆμα, καὶ Κύριος ὁ Θεὸς δέδωκέ μοι ῥῆμα εὐαγγελίζεσθαι δυνάμει πολλῇ. Καὶ σήμερον οἱ ἐν ταῖς Ἐκκλησίαις ψάλλοντες καὶ τὰς ἱερὰς γραφὰς ἀναγινώσκοντές εἰσι λαϊκοί, ὥστε, ὡς ὁρᾷ πᾶς τις, ὁ λόγος τῆς ἀποῤῥίψεώς ἐστιν ἄτοπος. Τέλος, ἵνα ἐγὼ ποιήσω πάντα τὰ ἐμαυτοῦ, λαλῶ καὶ τρίτον δημοσίᾳ, ἀπευθυνόμενος πρός τε κυβέρνησιν καὶ κυβερνωμένους, κληρικούς τε καὶ λαϊκούς, παρακαλῶν πάντας ἐν ὀνόματι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τοῦ θέντος τὴν ψυχὴν ὑπὲρ τῶν προβάτων, καὶ σπλαγχνιζομένου ἐπὶ τὸν ὄχλον, ὅτι ε ἰ σὶν ὡσεὶ πρόβατα παραλελυμένα μὴ ἔχοντα ποιμένα, τοὺς μέν, ἵνα χορηγήσωσι τὴν ἄδειαν, τοὺς δέ, ἵνα συνέλθωσιν εἰς ἀκρόασιν τοῦ θείου λόγου κατὰ τὴν ταχθεῖσαν ὥραν. Καὶ εἰ μὲν ἡ ἀρχὴ ἀναγγελεῖ μοι τὴν παραχώρησιν τῆς αἰτουμένης ἀδείας, ἔχει καλῶς. Ἄλλως, ἐξηγήσω τὴν σιωπὴν ὡς ἄρνησιν, καὶ ἀπελεύσομαι τῆς πόλεως ταύτης ἔχων μὲν μετ' ἐμαυτοῦ, ὅσα ἐμά, ἐκτινάζων δὲ ἐφ' ὑμᾶς τὸν κονιορτὸν τὸν κολληθέντα μοι ἐκ τῆς πόλεως ὑμῶν κατὰ τὴν τοῦ Σωτῆρος ἐντολήν. Ἀμὴν λέγω ὑμῖν, ἀνεκτότερον ἔσται γῇ Σοδόμων καὶ Γομόρας ἐν ἡμέρᾳ κρίσεως ἢ τῇ πόλει ἐκείνῃ, ἣν οὐκ ἐπέκαμψε τὸ γλυκύτατον τοῦ Σωτῆρος ὄνομα.



## Τῷ Πανιερωτάτῳ Μητροπολίτῃ Ἀττικῆς κυρίῳ Νεοφύτῳ.

Ἑκάστῳ δὲ δίδοται ἡ φανέρωσις τοῦ Πνεύματος πρὸς τὸ συμφέρον. Ὧ μὲν γὰρ διὰ τοῦ Πνεύματος δίδεται λόγος σοφίας, ἄλλῳ δὲ λόγος γνώσεως κατὰ τὸ αὐτὸ Πνεῦμα. (Κ. 1. Κεφ. 12. 7.)

Τί οὖν ἐστι ἀδελφοί; Ὅταν συνέρχησθε, ἕκαστος ὑμῶν ψαλμὸν ἔχει, ἀποκάλυψιν ἔχει, ἑρμηνείαν ἔχει, πάντα πρὸς οἰκοδομὴν γινέσθω. (Κ. 14. 26.)

Ὡς γινώσκει καὶ πιστοῦται ἐκ τῶν λόγων τούτων τοῦ Ἀποστόλου Παύλου ἡ ὑμετέρα Πανιερότης, ἡ χάρις τοῦ Πνεύματος δίδωσιν ἰδίᾳ ἑκάστῳ, καθὼς βούλεται, ποικίλα χαρίσματα, πρὸς οἰκοδομὴν καὶ τὸ συμφέρον τοῦ πλησίον. Καὶ πᾶς ἀξιωθεὶς θείου χαρίσματος ἔχει καθῆκον χρήσασθαι αὐτῷ ὑπὲρ τῶν ἀδελφῶν, καὶ μὴ κρύψαι τὸ τάλαντον ὑπὸ τὸν μόδιον, ὥσπερ τὸν ἀχρεῖον ἐκεῖνον δοῦλον. Ἐπειδὴ δὲ καὶ ἐγὼ συνείδησιν ἔχω, ὅτι μετέδωκέ μοι ἡ χάρις τοῦ Πνεύματος λόγον σοφίας καὶ γνώσεως, πρὸς ἐκπλήρωσιν τοῦ ἐμοῦ καθήκοντος, ἵνα μεταδῶ τοῦτον τοῖς ἀδελφοῖς, ἐξαιτοῦμαι παρὰ τῆς Υ. Τρισ. Παν. χορηγῆσαί μοι τὴν ἄδειαν τοῦ ἀναβῆναι ἐπὶ τοῦ ἐκκλησιαστικοῦ βήματος. Καὶ ἐπειδὴ κατὰ τὸν θεῖον Ἰωάννην ὀφείλετε μὴ παντὶ πνεύματι πιστεύειν, ἀλλὰ δοκιμάζειν τὰ πνεύματα, εἰ ἐκ τοῦ Θεοῦ εἰσι· διὰ τοῦτο ἀσμένως προϋβάλλω ὑπ' ὄψιν τῆς Υ. Π. τὰ ῥηθησόμενα ῥήματα, ἵνα γνωσθῇ εἰ ἐκ τοῦ Θεοῦ εἰσι καὶ ἀκοῆς ἄξια παρὰ τῷ Χριστονύμῳ λαῷ. Παρακαλῶ λοιπὸν αὐτὴν λαβοῦσαν ὑπ' ὄψιν τὴν αἴτησιν ταύτην χορηγῆσαι τὴν αἰτουμένην ἄδειαν τῷ εὐσεβάστως ὑποσημειουμένῳ, κλπ.

Τούτων οὕτω γενομένων, λαβὼν κάλαμον ἔγραψα τὰ δε·

Ὅτι ἡ Ἀθηναϊκὴ κοινωνία πανταχόθεν καταῤῥέει, καὶ ὁ ἐκστομίσας τοῦτον τὸν λόγον εἴρηκεν ἀλήθειαν, ἧς ἐγὼ ἀναλαμβάνω τὴν ἐπιστημονικὴν ἀπόδειξιν.

Πᾶσα κοινωνία ἑδράζεται καὶ στηρίζεται ἐπὶ τοῦ νόμου. Καὶ καθὼς ὁ θεμέλιος λίθος ἀφαιρεθεὶς ἐπιφέρει τὴν πτῶσιν τοῦ οἰκοδομήματος, τὸ αὐτὸ ἀποτέλεσμα παράγει καὶ ἡ τοῦ νόμου ἀφαίρεσις ἐκ τῆς κοινωνίας. Διακρίνομεν τὸν νόμον εἰς τρία εἴδη· Θεῖον, φυσικόν, καὶ πολιτικόν. Καλῶ θεῖον νόμον τὸν κανονίζοντα τὴν ἀνθρώπινον ἐνέργειαν ὑπὸ τὴν ἔποψιν τῆς σωτηρίας τῆς ψυχῆς καὶ τὴν ἀποφυγὴν τῆς μελλούσης κολάσεως. Καλῶ φυσικὸν νόμον τὸν διορίζοντα τὴν ἀνθρώπινον ἐνέργειαν δυνάμει αἰσθημάτων καὶ κλίσεων, ὧν φύσει εὐμοιρεῖ ἡ ὑμετέρα φύσις· οἷον ὁ νόμος τῆς ἐπιδείξεως, ὁ νόμος τῆς περιεργείας, ὁ νόμος τῆς φιλογενείας κλπ. Καλῶ πολιτικὸν νόμον τὸν κανονίζοντα τὴν ἐνέργειαν τῶν ἀποτελούντων τὴν κοινωνίαν ἀτόμων, πρὸς ἴσην καὶ δικαίαν διανομὴν τῶν συντηρούντων τὴν σωματικὴν ζωήν, ἤγουν πρὸς διατήρησιν τοῦ κοινῇ συμφέροντος. Ὁ θεῖος νόμος ἐστὶ περιεκτικὸς τοῦ τε φυσικοῦ καὶ πολιτικοῦ, τουτέστι, ὁ κατὰ τὸν νόμον τοῦ Θεοῦ πολιτευόμενος ἀναγκαίως διατηρεῖ τόν τε φυσικὸν καὶ πολιτικὸν νόμον. Ὁ δὲ τοῦ θείου νόμου ἐκπεσὼν οὐ δύναται ἐμμεῖναι οὔτε ἐν τῷ φυσικῷ οὔτε ἐν τῷ πολιτικῷ νόμῳ, ἀλλ᾽ ἀναγκαίως ἐκπεσεῖται καὶ τούτων, καὶ ἔσται κατὰ πάντα παράνομος. Τούτων οὕτω τεθέντων, ζητήσωμεν ἐν πρώτοις, ἡ Ἀθηναϊκὴ κοινωνία στηρίζεται ἐπὶ τοῦ θείου νόμου; Τουτέστι, οἱ ἐν Ἀθήναις ζῶντες διακρίνουσι κατὰ τὰ ἐν ταῖς Ἁγίαις Γραφαῖς νενομοθετημένα τὰ ἀρεστὰ τῷ Θεῷ καὶ πρόξενα τῆς αἰωνίου ζωῆς, καὶ τὰ ἀπαρέσκοντα καὶ κολάζοντα; Ἐν δὲ τῇ πράξει, ἐκτελοῦσι τὰ πρῶτα καὶ ἀποφεύγουσι τὰ δεύτερα; Ἡ συνείδησις ἑνὸς ἑκάστου γινώσκοντος τὰ ἑαυτοῦ δύναται ἀπαντῆσαι καταφατικῶς ἢ ἀποφατικῶς εἰς τὸ ζήτημα τοῦτο. Ἐγὼ ὅμως, ἐξ ὧν ἔλαβον πεῖραν, ἀποφαίνομαι ὅτι οὐκ ἔστι θεοσέβεια ἐν τῷ τόπῳ τούτῳ, ὅτι οὐκ ἔστι ὁ συνιῶν οὐδὲ ὁ ἐκζητῶν τὸν Θεόν, ἀλλὰ πάντες ἐξέκλιναν ἅμα

SISMANOGLIO MEGARO



ἠχρειώθησαν κατὰ τὸν Προφητάνακτα. Παραγενόμενος γὰρ πρὸς ὑμᾶς καὶ συγκαλέσας ἐν ὀνόματι Κυρίου τοῦ ἀκοῦσαι λόγον σοφίας καὶ συνέσεως καὶ σωτηρίας, ὑπὸ μὲν τῆς ἀρχῆς ἐκωλύθην, ὑπὸ δὲ τῶν λοιπῶν οὐδεμιᾶς ἀπαντήσεως ἠξιώθην, καὶ τὸ πάντων χείριστον, τὸ ἐπικληθὲν ὄνομα τοῦ Θεανθρώπου Σωτῆρος οὐκ ἴσχυσεν ἐπικάμψαι τὰς σκληρυνθείσας καρδίας ὑμῶν. Τοσούτου σεβασμοῦ ἔφθασε ἀπολαύειν παρ᾽ ὑμῖν ὁ ἐξαγοράσας ἡμᾶς ἐκ τῆς κατάρας τῷ τιμίῳ αὐτοῦ αἵματι. Μαρτυρεῖ δέ μου τῷ λόγῳ τὰ περὶ τῆς τηρήσεως τῆς Κυριακῆς ἐν τῇ Αὐγῇ εἰρημένα, καὶ τὰ περὶ τοῦ γεύματος τοῦ γενομένου ἐν Κηφισίᾳ κατὰ τὰς ἀρχὰς τοῦ δεκαπενθημέρου τοῦ Αὐγούστου, ὅσα τε ἄλλαι ἐφημερίδες εἰρήκασι κατὰ καιροὺς περί τε κλήρου καὶ Ἐκκλησίας καὶ τῆς θρησκευτικῆς ἀγωγῆς. Ἀλλὰ κατὰ τὸ ἀνωτέρω ἀξίωμα ὁ τοῦ θείου νόμου ἔξω γενόμενος οὐ δυνήσεται στῆναι οὔτε ἐν τῷ φυσικῷ, οὔτε ἐν τῷ πολιτικῷ νόμῳ, ἀλλὰ παρανομήσει ἐν πᾶσι. Ἴδωμεν δὲ καὶ τὴν ἐκ τῆς πείρας ἀπόδειξιν ἀρχόμενοι ἀπὸ τοῦ φυσικοῦ νόμου.

Ἐν τῇ Αὐγῇ τῆς 29 τοῦ λήξαντος (Ἰουλίου) ἐδήλωσα ἣν εἶχον πρόθεσιν, ποιητικὸν μὲν αἴτιον καταδείξας τὸν νόμον τῆς ἐπιδείξεως, τελικὸν δὲ τὸν νόμον τῆς φιλογενείας. Περιέμενον δὲ ἰδεῖν ἐξ ὑμῶν τὴν ἐνέργειαν τοῦ φυσικοῦ νόμου τῆς περιεργείας. Καθὼς γὰρ πᾶς ἄνθρωπος φύσει ἐφίεται ἐπιδεῖξαι ἣν κέκτηται ἱκανότητα· οὕτω καὶ πᾶς ἄνθρωπος φύσει ὀρέγεται ἰδεῖν καὶ καταμαθεῖν ταύτην. Τὰ πλήθη συῤῥέουσι, δίκην χειμάῤῥου, πρός τε τὰ θέατρα καὶ τοὺς θαυματοποιοὺς ἀγόμενα ὑπὸ τοῦ νόμου τῆς περιεργείας. Πέπεισμαι δὲ ὅτι καὶ ἐγώ, εἰ θαματοποιός τις ἤμην ἢ θεατρικός, πολλοὶ ἂν συνήγοντο περὶ ἐμὲ καίτοι χρήματα ἀπαιτούμενοι, καὶ ἡ ἐξουσία οὐκ ἂν ἐκώλυε τὴν σύναξιν. Τί δὲ τοῦτο σημαίνει; Ὅτι ὁ νόμος τῆς περιεργείας κατὰ μὲν τὸ φαῦλον καὶ διαβεβλημένον μέρος ζῇ ἐν ὑμῖν, κατὰ δὲ τὸ εὐγενὲς καὶ ἀξιέπαινον νενέκρωται. Αἱ δηλώσεις μοῦ εἰσι πλήρεις φιλογενείας καὶ φιλοπατρίας τῷ γε συνιέντι. Καὶ κατὰ τὸν φυσικὸν νόμον τῆς συμπαθείας τὸ δηλωθὲν αἴσθημα διεγείρει συμπάθειαν εἰς τὰς τῶν ἄλλων ψυχάς. Ἕκαστος φύσει ἀγαπᾷ καὶ συμπαθεῖ πρὸς ἐκεῖνον, ὃν ἂν ἴδῃ συμπαθῶς πρὸς

αὐτὸν διακείμενον· ἀλλ' εἶδον ὅτι ἀργεῖ καὶ ἐν ὑμῖν ὁ νόμος οὗτος. Εἰ δὲ καὶ ἕτεροι τοιοῦτοι φυσικοὶ νόμοι ἀργοί εἰσι παρ' ὑμῖν, τοῦτο ὑμεῖς γινώσκετε. Ἐγὼ μόνον κρίνω ἐφ' ὧν ἔγνων καὶ ἔλαβον πεῖραν, διὰ τοῦτο μεταβαίνω ἤδη εἰς τὸ τρίτον εἶδος τοῦ νόμου, τουτέστι, τὸ πολιτικόν.

Τὸ πολίτευμα ὑμῶν καλεῖται σύνταγμα. Τὸ πολίτευμα τοῦ τοιούτου εἴδους διακρίνει τὴν ἐξουσίαν εἰς τρία εἴδη. Τὴν νομοθετικήν, τὴν ἐκτελεστικήν, καὶ τὴν δικαστικήν. Αἱ τρεῖς αὗται ἐξουσίαι ὀφείλουσιν ἐνεργεῖν παραλλήλως ἐντὸς τῶν διαγεγραμμένων ὑπὸ τοῦ νόμου ὁρίων, ἀνεξαρτήτως ἑκατέρα τῆς ἑτέρας. Καὶ κατὰ Πλάτωνα εἰπεῖν, νομοθετικοῦ, ἐκτελεστικοῦ, δικαστικοῦ, τριῶν μορίων ὄντων ἐν τῷ συνταγματικῷ πολιτεύματι, ἑκάστου τὰ ἑαυτοῦ πράττοντος, δικαιοσύνη ἂν εἴη, καὶ δίκαιον πολίτευμα παρέχοι. Τοὐναντίον δὲ ἡ σύγχυσις καὶ ἡ εἰς ἄλληλα μεταβολὴ τούτων, ἑκάστου τῶν τριῶν πολυπραγμονοῦντος καὶ ἀλλοτριοπραγμονοῦντος, τὰ δὲ ἑαυτοῦ ἀμελοῦντος, κακουργία ἂν εἴη καὶ ἀδικία, καὶ ἄδικον πολίτευμα παρέχοι. Ἀρχόμενοι λοιπὸν ἀπὸ τοῦ νομοθετικοῦ μορίου λέγομεν, ὡς καὶ ὑμεῖς λέγετε, ὅτι τοῦτο ὑποτέτακται τῷ ἐκτελεστικῷ ἐκλέγοντι τοὺς βουλευτάς, καὶ οὐχὶ ἡ ἐλευθέρα τοῦ λαοῦ ψῆφος. Τὸ μόριον ἄρα τοῦτο οὐ δύναται πρᾶξαι τὰ ἑαυτοῦ ἀπολέσαν τό τε ἀνεξάρτητον καὶ ἀνεπηρέαστον. Τὸ δὲ ἐκτελεστικὸν κατηγορεῖται ὡς ἄγαν πλεονεκτικὸν καὶ πολυπράγμον, ὅτι ἔχει τάσιν ἀποῤῥοφῆσαι ἐν ἑαυτῷ πᾶσαν ἐξουσίαν, ὅτι οὐκ ἐκτελεῖ τὰ ἑαυτοῦ, ὡς μὴ κηδόμενον τοῦ κοινῆ συμφέροντος, ὅπερ θυσιάζει μάλιστα ἐνώπιον ξένου τε καὶ ἐχθρικοῦ. Ἀλλὰ κατὰ Πλάτωνα, ἐν τούτοις ὁρίζεται τὸ κακουργεῖν τε καὶ ἀδικεῖν, καὶ καθ' ὃ ἔχει ἀξίωμα ὁ ἀπὸ τῆς νῦν Ἑλλάδος ἐξόριστος οὗτος φιλόσοφος, ὅσῳ τις μᾶλλον ἀδικεῖ, τοσούτῳ μᾶλλον καὶ ἐπαυξάνει τὰ ἑαυτοῦ δεινά, καὶ ἀθλιέστατος ἀποβαίνει. Τί δὲ ἂν εἴποιμι περὶ τοῦ τελευταίου μορίου, ἤτοι τοῦ δικαστικοῦ; Ἐκ τῆς πείρας καὶ ἐξ ὑστέρου οὐδὲν ἤδη λέγω κατὰ τούτου· λογικῶς ὅμως καὶ ἐκ προτέρου οὕτω λέγω· Πᾶς μηχανισμὸς συνίσταται ἐκ μερῶν συνηρμοσμένων, ἑκάστου τὰ ἑαυτοῦ ἐνεργοῦντος, καὶ ἡ βλάβη μέρους τινὸς ἐν τῷ μηχανι-

SISMANOGLIO MEGARO



σμῷ κωλύει τὴν προσήκουσαν τῶν ἄλλων μερῶν ἐνέργειαν, καὶ ἣν μὴ προληφθῇ, συνεισάγει τῆς ὅλης μηχανῆς τὴν καταστροφήν. Ἐν τῷ πολιτικῷ δὲ μηχανισμῷ, νομοθετικοῦ τε καὶ ἐκτελεστικοῦ μορίου νοσούντων, δύναταί τις συμπεράναι ὅτι ὑγιαίνει τὸ δικαστικόν; Ἀλλὰ καὶ κατὰ τούτου ἓν μόνον ἔχω ἐκ τῆς πείρας ἐπιχείρημα, οὗ τινος εὔκαιρον μνημονεῦσαι ἐνταῦθα. Ἐν Κωνσταντινουπόλει οἰκεῖός τις ἔτυχε διαφερόμενος μετά τινος ἄλλου Σιφνίου καὶ αὐτοῦ, ἐγὼ δὲ ἐφιέμενος γνῶναι, πῶς οἱ ἡμέτεροι δικασταὶ ἐφαρμόζουσι τοὺς νόμους, ἐμελέτησα τὰ ἐπὶ τῆς διαφορᾶς ἄρθρα, καὶ ἐνεφάνην ἐν τῷ Προξενικῷ δικαστηρίῳ ἀντὶ δικηγόρου. Ὁ ἀντίδικος ἀπαιτῶν ἕνδεκα χιλιάδας καὶ ἐπέκεινα γρόσια ἐστήριξε τὴν ἀγωγὴν ἐπὶ συμφωνητικοῦ ἰδιωτικοῦ, ὑπογεγραμμένου μὲν παρ' ἀμφοτέρων τῶν διαδίκων, ἀλλ' ὅπερ καὶ διὰ τοὺς ὅρους οὓς περιεῖχε, καὶ διὰ πράξεων ἀκυρωτικῶν ἐπιγενομένων ὑπὸ τῶν διαδίκων ἦν νομίμως ἄκυρον. Εἰσαχθείσης τῆς δίκης ἐν τῷ ἀκροατηρίῳ, ὁ κύριος πρόεδρος ἠρώτησε περὶ τῆς ἀναγνωρίσεως τῆς ὑπογραφῆς. Ἀλλὰ κατὰ τὸ αὐτὸ ἄρθρον τῆς πολιτικῆς δικονομίας ὤφειλεν ἑπομένως ἐρωτῆσαι καὶ εἰ ἔλαβε χώραν ἀπάτη ἢ οὔ. Τούτου δὲ μὴ γενομένου, ἐνῷ τὸ ἔγγραφον ἐγγράφως τε καὶ προφορικῶς προσεβλήθη ὡς ἀπατηλὸν καὶ ἄκυρον, ὁ δὲ ἀντίδικος ἐσιώπησεν, ὅπερ κατὰ τὸν νόμον ἰσοδυναμεῖ πρὸς ὁμολογίαν, τὸ δικαστήριον προέβη εἰς τὴν ἀπόφασιν ἔχον μόνον ὑπ' ὄψιν, ὅσα κατὰ τὸ φαινόμενον ἐδικαίουν τὸν ἀντίδικον, καταψηφίζον καὶ καταδικάζον. Ἐποίησα ἑπομένως χρῆσιν τοῦ ἐνδίκου μέσου τῆς ἐφέσεως κατὰ τῆς τοιαύτης ἀποφάσεως, καὶ κατέδειξα τὰς τρεῖς γενομένας παρατυπίας. Τοῦτο ἰδὼν ὁ ἀντίδικος, οὐκ οἶδ' ὅπως ἐλθὼν παρεκάλεσε, ἵνα συμβιβασθῇ, καὶ συνεβιβάσθη παραιτηθεὶς ὧν εἶχεν ἀξιώσεων. Τότε λογισάμενος εἶπον κατ' ἐμαυτόν· Οὐαί σοι ἔθνος μου! εἰ οἱ δικασταί σου οὕτως σέβονται καὶ ἀχαριστοῦσι τῷ νόμῳ, ὥστε ἀθετεῖν αὐτὸν τρὶς ἐν μιᾷ δίκῃ.

Ἰδοὺ λοιπὸν ὁ ἐπιστημονικὸς συλλογισμὸς ἀπηρτισμένος καὶ τέλειος.

## Πᾶσα κοινωνία ἐστὶν ἑδραία στηριζομένη ἐπὶ τοῦ θείου, φυσικοῦ καὶ πολιτικοῦ νόμου.

Ἀλλαμὴν ἡ Ἀθηναϊκὴ κοινωνία ἐν οὐδενὶ τούτων ἐστήρικται·
Ἄρα ἡ Ἀθηναϊκὴ κοινωνία πανταχόθεν καταρρέει-εῖ.

Πῶς δὲ νοητέον τὸ πανταχόθεν καταρρέει ὡς πρὸς τὴν διάρκειαν καὶ τὸν χρόνον; Καθὼς φησι Κέβης· λέγει δέ· « Ἡ ἀφροσύνη τοῖς ἀνθρώποις σφίγξ ἐστιν, αἰνίττεται δὲ τάδε· Τί ἀγαθόν, τί κακόν, τί οὔτε ἀγαθὸν οὔτε κακὸν ἐν τῷ βίῳ; Ταῦτα οὖν ἐὰν μέν τις μὴ συνῇ, ἀπόλλυται ὑπ' αὐτῆς· οὐκ εἰσάπαξ, ὥςπερ ὁ ὑπὸ τῆς σφιγγὸς καταβρωθεὶς ἀπέθνησκεν· ἀλλὰ κατὰ μικρὸν ἐν ὅλῳ τῷ βίῳ καταφθείρεται, καθάπερ τῇ τιμωρίᾳ παραδιδόμενος. » Ἐπειδὴ λοιπὸν καὶ ἡ ἀφροσύνη, ὥςπερ πάλαι ἡ σφίγξ εἰσεχώρησεν ἐν τῇ κοινωνίᾳ ταύτῃ, καίτοι σχολειούχῳ, γυμνασιούχῳ, λυκειούχῳ, πανεπιστημιούχῳ, νῦν δὲ καὶ ἀκαδημιούχῳ, κατατρώγει αὐτὴν οὐκ εἰσάπαξ, ἀλλὰ κατὰ μικρὸν ἐν ὅλῳ τῷ βίῳ. Τὸ πανταχόθεν ἄρα καταρρέει νοητέον οὐκ εἰσάπαξ, καθάπερ συμβαίνει ἐπὶ τῆς πτώσεως τῶν οἰκοδομημάτων, ὧν ἀφῃρέθη ὁ θεμέλιος λίθος, ἀλλὰ κατὰ μικρὸν ἐν ὅλῳ τῷ βίῳ καταφθείρεται, καθάπερ τῇ τιμωρίᾳ παραδιδομένη.

Ἐχέτω λοιπὸν τὴν τιμὴν ὁ Ἕλλην ὅτι ἐξεστόμισεν ἀλήθειαν ἐνδιαφέρουσαν ἅπαν τὸ Ἑλληνικόν, ἐγὼ δὲ ὅτι ἐπιστημονικῶς κατέδειξα ταύτην. Τί τὸ πρακτέον ἤδη; Καθὼς ὑπάρχει ἰατρικῶς ἐπιστήμη ἐπανάγουσα εἰς ὑγείαν τὰ νοσοῦντα σώματα· οὕτως ὑπάρχει καὶ ἐπιστήμη ἰατρικὴ ἐπανάγουσα εἰς ὑγείαν τὰς νοσούσας κοινωνίας. Ταύτης δὲ τῆς ἐπιστήμης εὔχομαι ἐγὼ κάτοχος εἶναι, καὶ δῆλον· εἰ καλῶς ἐποίησα διάγνωσιν τῆς κοινωνικῆς καχεξίας. Κύριος ὁ Θεός, ἐπαναλέγω, δέδωκέ μοι πνεῦμα συνέσεως καὶ ἐπιστήμης, ἣν οὐ διδάσκουσιν οἱ υἱοὶ τῶν ἀνθρώπων, ἐπὶ τῷ θεραπεύειν τοὺς βουλομένους χρῆσθαί μοι ὥς περ ἰατρῷ. Εἰ δὲ μή,



κἀγὼ λέγω ὑμῖν· ἐπειδὴ βούλεσθε νοσεῖν, νοσεῖτε, ἕως ἂν ἀποθάνητε, ὃ μὴ γένοιτο· ἀμήν.

Παρηγορῶν δὲ ὑμᾶς λέγω, ὅτι οὐ μόνον ἡ Ἀθηναϊκὴ κοινωνία πανταχόθεν καταρρέει, ἀλλὰ καὶ αἱ Εὐρωπαϊκαὶ κοινωνίαι ταὐτὰ πάσχουσι, διότι οὐκ ἑδράζονται ἐπὶ τοῦ θείου νόμου, ἀλλ' ἐπί τινος ἀστάτου καὶ ἀπατηλοῦ συμφέροντος, ὥςπερ ἐπὶ τῆς ἄμμου. Ἐκεῖθεν ἡ νόσος ἐνέσκηψε καὶ ἐν ὑμῖν. φοβοῦμαι δὲ μή πως ἐκεῖναι προλάβωσι τὴν ὑμετέραν πτῶσιν· ἀλλὰ δότε ὑμεῖς καὶ ἐκείνοις τὸ παράδειγμα τῆς ἰάσεως.

Ταῦτα τὰ ῥήματα, ἐπεὶ οὕτω συνέταξα, παρέδωκα εἰς τὸν συντάκτην τοῦ Αἰῶνος, ἵνα, ὡς εἰς κάτοπτρον, κατίδωσιν ἑαυτοὺς οἱ οἰόμενοι εἶναι ἄξιοι ἄρξαι πάσης Ἀνατολῆς, καὶ εἰς ἑαυτοὺς ἐλθόντες, ὡς ὁ ἄσωτος υἱός, κινηθῶσι τὴν ἐπὶ τὰ βελτίω κίνησιν. Ἀλλ' ἀπεποιήθη τοῦ καταχωρίσαι ταῦτα ἐν τῇ ἑαυτοῦ ἐφημερίδι λέγων εἶναι ταῦτα λίαν σκληρά. Ἐγὼ δὲ παραλαβὼν τὰ ἐμὰ ἐποίησα, ὅτι ἔδει με ποιῆσαι, ἀπελθὼν ἐκεῖθεν εἰς τὴν φίλην πατρίδα γῆν, ἥ μ' ἔτεκε, καὶ ἐντεῦθεν ἐπανελθὼν εἰς τὴν κλεινὴν Πόλιν, ἥ μ' ἔθρεψε.

Οὕτως ἐγὼ παιδαγωγηθεὶς ὑπὸ τοῦ Θεοῦ, ἐπίγνωσίν τε λαβὼν τῆς τε αἰωνίου ἀληθείας, τῆς τε αἰωνίου βουλῆς, ἔταξα ἐμαυτὸν εἰς τὴν διακονίαν ταύτης. Ἐπιγνοὺς ἐμαυτὸν ζῶον λογικὸν καὶ ποίημα τοῦ τὰ πάντα ποιήσαντος Θεοῦ Λόγου οὐκ ἔχω νοῆσαί τε καὶ ἐπιθυμῆσαι μεγαλοπρεπέστερον ἄλλο, ἢ λαλεῖν καὶ πράττειν εἰς δόξαν καὶ ἔπαινον τοῦ ἐμοῦ πρωτοτύπου τοῦ εἰδότος τιμᾷν τὴν ἑαυτοῦ εἰκόνα. Διὰ τοῦτο καὶ ὅσα μέχρι τοῦδε ἐποίησα, καὶ ὅσα ἐλάλησα, εἰς δόξαν τοῦ ἀγαπητοῦ μοι Χριστοῦ ἐποίησα καὶ ἐλάλησα· καὶ νῦν ὅσα ἔρχομαι λαλῆσαι ἐν τῇ βίβλῳ ταύτῃ, ἔπαινος καὶ δόξα Χριστοῦ ἐστι. Δείκνυται γὰρ ἐν ταύτῃ Χριστὸς προορισμὸς ἀπ' αἰώνων τῆς ἀνθρωπότητος, ἀγαθὸν ἡμῶν αὔταρκες, πληροῦν πάσας ἡμῶν τὰς χρείας, ἀτομικάς τε καὶ κοινωνικάς, καὶ ὅτι μόνον οἱ χρώμενοι Χριστῷ, ὡς δεῖ χρῆσθαι, μακάριοι. Οἱ δὲ μηδαμῶς χρώμενοι, ἢ οὐκ ἐν δίκῃ χρώμενοι, ἀλλὰ καταχρώμενοι, ἄχρηστοί τε καὶ ἀχρεῖοι ἑαυτοῖς τε καὶ τοῖς

ἄλλοις δημιουργήμασι, ὀλέθριοί τε καὶ ἐξωλέστατοι. Οὕτω δὲ δηλοῦντες τὴν δόξαν Χριστοῦ, ὡς ἐδήλωσαν αὐτὴν πάντες οἱ κατὰ καιροὺς αὐτόπται καὶ ὑπηρέται γενόμενοι τοῦ Λόγου, σκοποῦμεν τὴν σωτηρίαν τῶν χωρὶς Χριστοῦ πορευομένων ὁδὸν ἀπωλείας, κατὰ τὴν ἀρέσκειαν ἐκείνου, ὃς οὐ θελήσει θέλει τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ἀλλὰ θέλει πάντας σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν· ὅπερ γένοιτο. Ἀμήν.

ΑΠΟΣΤΟΛΟΣ ΜΑΚΡΑΚΗΣ.

SISMANOGLIO MEGARO

# Η ΠΟΛΙΣ ΣΙΩΝ,

Η

## Ἡ ἐπὶ τῆς Πέτρας οἰκοδομηθεῖσα Ἐκκλησία

ἤτοι

### Η ΑΝΘΡΩΠΙΝΟΣ ΚΟΙΝΩΝΙΑ ΕΝ ΧΡΙΣΤΩ.

## Ὁδοιπορία πρὸς εὕρεσιν τῆς πόλεως Σιών.

Ὅτι ἕκαστος ἄνθρωπος τυγχάνει οὐκ αὐτάρκης, ἀλλὰ πολλῶν ἐνδεής· διὰ τοῦτο καὶ θηρεύει ἐκτὸς ἑαυτοῦ τὰ θεραπεύοντα τὰς ἑαυτοῦ χρείας. Ἐκ δὲ τῆς τῶν θηρευομένων ἐπιτυχίας ἢ ἀποτυχίας, προσκτήσεως ἢ ἀποβολῆς, προέρχεται εἰς αὐτὸν ἡ λεγομένη εὐτυχία ἢ δυστυχία, χαίρει ἢ λυπεῖται, τέρπεται ἢ ἀνιᾶται, ὀδυνᾶται ἢ εὐφραίνεται. Ἰδού, ἐν ὀλίγαις λέξεσιν, ἡ εἰκὼν τοῦ βίου ἑνὸς ἑκάστου τῶν ἀνθρώπων· ἀλλὰ καὶ ἡ εἰκὼν τοῦ βίου τῆς ὅλης κοινωνίας, ἤτοι τῆς ὁμάδος τῶν ἀτόμων, οὐ δύναται ἄλλως ἔχειν ἢ οὕτως. Καὶ ἑκάστη κοινωνία ἔχει χρείας, θηρεύει τὴν θεραπείαν αὐτῶν, πάσχει τὰ αὐτά, ὅσα καὶ τὸ ἄτομον, μοχθοῦσα πρὸς ἐπιτυχίαν ὧν χρῄζει, καὶ τὴν τούτων κατοχήν. Τοιαύτης οὔσης τῆς εἰκόνος τοῦ βίου τῶν τε ἀτόμων τῶν τε κοινωνιῶν, ποῦ φαίνεται ἡ πλάστιγξ ῥέπουσα; Ὁ ἄνθρωπος ἀτο-

μικῶς τε καὶ κοινωνικῶς θεωρούμενος εὐτυχεῖ μᾶλλον,
ἢ δυστυχεῖ; Ἐκ τοῦ στήθους πάντων βιούντων τε καὶ
βιωσάντων ἐξέρχεται βοὴ γοερὰ ὀδύνης καὶ θλίψεως,
θρῆνος καὶ κλαυθμὸς καὶ ὀδυρμὸς πολύς,

> Οὐ μὲν γάρ τί πού ἐστιν ὀϊζυρώτερον ἀνδρὸς
> Πάντων, ὅσα τε γαῖαν ἔπι πνείει τε καὶ ἕρπει,

φησὶν ὁ ποιητὴς τοῦ ἀρχαίου κόσμου. Ἡ ἱστορία τῆς
ἀνθρωπότητος οὐκ ἔστιν ἄλλο, ἢ ἱστορία παθημάτων καὶ
καταστροφῶν, καὶ οὐκ ἔστιν ὅστις οὐ πέπωκε τὸ πικρὸν
ποτήριον τῶν λυπηρῶν τοῦ βίου, βραχέων μόνον στιγ-
μῶν εὐφροσύνης μνημονεύων, καὶ αὗται ἴσως προὐκά-
λεσαν πολλαπλάσιον παθημάτων ἀριθμόν. Ἔστιν ἆρά γε
τις θεραπεία τῶν κακῶν τῷ ἀνθρωπίνῳ γένει; Δυνάμει
τίνος καὶ κατὰ ποίας συνθήκας δύναται
πᾶς ἄνθρωπος καὶ πᾶσα κοινωνία εὑρεῖν
ἀπαλλαγὴν τῶν κακῶν καὶ κατορθῶσαι ἀεὶ
μὲν χαίρειν, οὐδέποτε δὲ λυπεῖσθαι; Ἰδοὺ
ζήτημα πρὸς λύσιν τοῦ ὁποίου προτίθεμαι ὁδηγῆσαι τοὺς
ἐνδιαφερομένους, καὶ ἀρχόμεθα τῆς ζητήσεως, ἥτις φύσει
προηγεῖται τῆς εὑρέσεως.

Ἔστιν ἆρά γέ τις θεραπεία τῶν κακῶν τῷ ἀνθρωπίνῳ
γένει; Κατὰ τὸν γενικὸν νόμον τῆς ἰατρικῆς ἐπιστή-
μης οὐδεμία νόσος θεραπεύεται, ἐὰν μὴ γνωσθῇ πρῶτον
τὰ παράγοντα αὐτὴν αἴτια. Εὑρόντες ἄρα καὶ ἡμεῖς τὴν
μίαν καὶ ἀρχικὴν πηγὴν τῶν ἀνθρωπίνων δυστυχημάτων
ἐσόμεθα ἱκανοὶ δεῖξαι τὴν θεραπείαν καὶ ἀποφυγὴν τού-
των, καὶ πῶς ἂν μακάριος γένοιτο πᾶς ἄνθρωπος καὶ
πᾶσα κοινωνία.

Ἐπειδὴ φύσει κοινωνικὸς ὁ ἄνθρωπος, ἐν κοινωνίᾳ γεν-
νώμενος, ἐν κοινωνίᾳ αὐξανόμενος, ἀναγκαίως γίνεται
μέτοχος καὶ κοινωνὸς τῶν ἐν αὐτῇ ἀγαθῶν τε καὶ κακῶν.



Ἀλλὰ καὶ αὐτός, πρόσωπον ἐλεύθερον καὶ αὐτενεργόν,
συντελεῖ τῇ ἰδίᾳ ἐνεργείᾳ εἰς αὔξησιν ἢ ἐλάττωσιν τῶν
μέν, ἢ τῶν δέ, καὶ συμβαίνει ὥστε βελτίω κοινωνίαν βελ-
τίους ποιεῖν πολίτας, ὥσπερ καὶ κακίω κακούς· καὶ ἀν-
τιστρόφως, ἀγαθὸν πολίτην εὖ ποιεῖν τὴν ὅλην πόλιν,
καὶ κακὸν κακοποιεῖν. Οὕτως ἔχοντος τοῦ πράγματος, τὸ
ζήτημα τῆς εὐδαιμονίας τοῦ ἀτόμου καὶ τῆς κοινωνίας
εἰσὶν οὕτω συνημμένα καὶ οὕτω κεχωρισμένα, ὥστε οὔτε
δύναταί τις ταυτίσαι ἀμφότερα εἰς ἕν, οὔτε πάλιν χω-
ρὶς θεωρῆσαι ἑκάτερον ἄνευ τοῦ ἑτέρου. Τὸ ἄτομον καὶ
ἡ κοινωνία, ὡς ὅλον καὶ μέρος, ἀμοιβαίως διδόασι καὶ
λαμβάνουσι παρ' ἀλλήλων εἴτε ἀγαθὰ εἴτε κακά, καὶ
ἀμφότερα ἔχοντες ὑπ' ὄψιν ἀμφοτέρων θηρεύομεν τὴν
βελτίωσιν καὶ εὐδαιμονίαν, ζητοῦντες, ἐν τίνι καὶ πῶς
σωθήσεται καὶ εὐδαιμονήσει τὸ ἄτομον, ἐν τίνι καὶ πῶς
σωθήσεται καὶ εὐδαιμονήσει ἡ ὅλη κοινωνία. Ὁ ζητού-
μενος ἄγνωστος εἰς ἀμφότερά ἐστιν εἷς καὶ ὁ αὐτός, καὶ
τοῦτο ποιεῖ τὸ ζήτημα φαίνεσθαι ἅμα μὲν ἕν, ἅμα δὲ
δύο. Ἐμοὶ δὲ ἐπιλαμβανομένῳ τῆς λύσεως τοῦ ζητήμα-
τος, ὡς ἡ φύσις τοῦ πράγματος ἀπαιτεῖ, δῴη Κύριος
κατὰ τὴν καρδίαν μου, καὶ πᾶσαν τὴν βουλήν μου πλη-
ρῶσαι· ἀμήν.

Εἴπομεν ἐν ἀρχῇ, ὅτι ἕκαστος ἄνθρωπος τυγχάνει οὐκ
αὐτάρκης, ἀλλὰ πολλῶν ἐνδεής· διὰ τοῦτο καὶ θηρεύει
ἐκτὸς ἑαυτοῦ τὰ θεραπεύοντα τὰς ἑαυτοῦ χρείας· τὸ αὐτὸ
δὲ εἴπομεν καὶ περὶ τῆς ὅλης κοινωνίας. Ζητήσωμεν
ἐν πρώτοις, τὰ θηρευόμενα ἐκτὸς ὁποίας φύσεως δεῖ εἶναι;
ἐνδεῆ καὶ ταῦτα ὡς ἐμέ, ἢ αὐτάρκη; Ὁμολογουμένως
τὸ δεύτερον· διότι, εἰ εἰσιν ἐνδεῆ, οὐδὲν ὄφελος, ὅτι
γυμνὸς γυμνὸν οὐ δύναται περιβάλλειν καὶ ἐνδύειν. Δῆλον
δέ, ὅτι ἀδύνατον ἡ ὕπαρξις τοῦ ἐνδεοῦς, ἐλλείποντος

τοῦ αὐτάρκους. Ὁ ἐκφέρων τήνδε τὴν πρότασιν, ὑπάρχει ὂν ἐνδεές, ἀναγκαίως συνομολογεῖ καὶ προϋποτίθησι ταύτην, ἔστιν ὂν αὔταρκες. Ἀνάγκη ἄρα θεῖναι ἀμφότερα καὶ ζητῆσαι ἑπομένως, τίσι συνθήκαις καὶ ὅροις τὸ μὲν πληροῖ, τὸ δὲ πληροῦται· ἀνάγκη ἔτι νοῆσαι τὸ αὔταρκες ὡς ἕν, ὅτι τὰ πολλὰ οὐκ εἰσὶν αὐτάρκη, ἀλλ' ἑκάτερον θατέρου χρήζει· ὥστε τὸ θηρευόμενον ἐκτὸς ἔσται πάντως ἓν αὔταρκες, ὅπερ καλοῦμεν ἀγαθόν. Τὸ ἀγαθόν, ἓν ὂν καὶ αὔταρκες, γνώρισμα οὐσιῶδες καὶ χαρακτῆρα ἀναφαίρετον ἔχει τὸ ἐπαρκεῖν πᾶσι τοῖς ἐνδεέσι. Τὸ γὰρ μὴ τοῖς πᾶσιν ἐπαρκοῦν ἔσται καὶ τοῦτο ἐνδεὲς καὶ οὐκ ἀγαθόν. Ὥστε τὸ εὑρεθησόμενον ἀγαθὸν τῷ ἑνὶ ἀνθρώπῳ αὐτὸ τοῦτο ἔσται ἀγαθὸν καὶ τῇ ὅλῃ κοινωνίᾳ, καὶ οὐ μόνον τῇ ὅλῃ κοινωνίᾳ, ἀλλὰ καὶ πᾶσι τοῖς λοιποῖς κτίσμασι. Λέγομεν ἤδη, ὁ ἄνθρωπος ἐνδεὴς ὢν θηρεύει ἐκτὸς ἑαυτοῦ τὸ ἀγαθόν. Εἰ τοίνυν εὕροι καὶ κατάσχοι τὸ θηρευόμενον ἀγαθόν, καὶ μετ' αὐτοῦ ἔλθοι εἰς τελείαν συνάφειαν, γέγονεν εὐδαίμων καὶ μακάριος. Τοὐναντίον δὲ τοῦ ἀγαθοῦ ἀστοχήσας καὶ μὴ κοινωνὸς αὐτοῦ γενόμενος, μένει ἐνδεὴς καὶ ἄθλιος. Ἡ μία ἄρα καὶ κυρία αἰτία τῶν ἀνθρωπίνων δυστυχημάτων ἐστὶν ἡ τοῦ ἀγαθοῦ ἀστοχία τε καὶ στέρησις. Ἀλλὰ πάλιν τίνα τὰ αἴτια τῆς ἀστοχίας ταύτης, καὶ ποῦ ζητητέον αὐτά; Εἰς τὸν ζητοῦντα ἄνθρωπον, ἢ εἰς τὸ ζητούμενον ἀγαθόν; Ἓν ἐκ τῶν δύο· ἢ ὁ ἄνθρωπος θηρεύων, κακῶς θηρεύει, καὶ διὰ τοῦτο οὐ συλλαμβάνει, ἢ τὸ θηρευόμενον ἀγαθόν, καθ' ὃ πάντα δυνάμενον, κρύπτει ἑαυτό, καὶ ἀδυνατεῖ ὁ ἄνθρωπος εὑρεῖν αὐτό· Ἀλλὰ τὸ δεύτερόν ἐστιν ὅλως ἐναντίον τῆς τοῦ ἀγαθοῦ φύσεως· ὥστε ἀποδοτέον τὰ αἴτια τῆς ἀστοχίας εἰς τὸν ζητοῦντα ἄνθρωπον,



καὶ πειραθῶμεν ἤδη, ὅπως ἔλθωμεν εἰς ἐπίγνωσιν αὐτῶν, ἐπιστήσαντες τὴν προσοχὴν εἰς τὰ δύο ταῦτα, τὴν ζήτησιν καὶ τὴν εὕρεσιν.

Ἐν πάσῃ ζητήσει θεωροῦνται δύο τινά, ζητοῦν καὶ ζητούμενον ἐν τόπῳ ἀλλήλων διϊστάμενα. Ἡ δὲ συνάντησις καὶ συνεπαφὴ τοῦ ζητοῦντος καὶ ζητουμένου καλεῖται εὕρεσις. Συμβαίνει δέ, ὅταν ἀμφότερα ὦσιν ἔμψυχα ἐφιέμενα τῆς ἀλλήλων συνουσίας, ἑκάτερον εἶναι ἅμα καὶ ζητοῦν καὶ ζητούμενον· καὶ τοῦτο ἔχει χώραν ἐνταῦθα ἐπὶ τῆς ζητήσεως μεταξὺ τοῦ ἀνθρώπου καὶ τοῦ ἀγαθοῦ. Ἴδωμεν οὖν ἐν πρώτοις τὸ σημεῖον, ἐφ' οὗ ἵσταται ὁ ζητῶν καὶ ζητούμενος ἄνθρωπος, καὶ τὸ σημεῖον, ἐφ' οὗ ἵσταται τὸ ζητούμενον καὶ ζητοῦν ἀγαθόν, καὶ τί τὸ συμβαῖνον ἐκ τῆς τῶν ἀμφοτέρων ποιᾶσδε κινήσεως.

Ὁ ἄνθρωπος ἵσταται ἐπὶ τοῦ φαινομένου ὀργανικοῦ σώματος ἐγκατακεκρυμμένος ἐν αὐτῷ. Τὸ δὲ ἀγαθόν, τόπῳ ἀπερίγραπτον, ἐγκρύπτεται ὅμως, ὡς πρὸς ἐμέ, ὑπὸ τὸν φαινόμενον τοῦτον κόσμον. Μεταξὺ ἄρα τοῦ ἀνθρώπου καὶ τοῦ ἀγαθοῦ κεῖται, ἔνθεν μὲν τὸ ὀργανικὸν σῶμα, ἔνθεν δὲ ὁ ἐπίσης διωργανισμένος ὑλικὸς κόσμος. Καί, ἵνα γένηται συνάντησις καὶ συνεπαφή, προσῆκόν ἐστιν, ἔνθεν μὲν ἐξελθεῖν τὴν ψυχὴν ἐκ τοῦ σώματος, ἔνθεν δὲ ἐξελθεῖν τὸ ἀγαθὸν ἐκ τοῦ κόσμου. Ἵνα δὲ ἐξορμήσωσιν ἀμφότερα, ἀνάγκη πρῶτον ὑποπτεῦσαι καὶ ὑπονοῆσαι ἄλληλα. Τὸ ἀγαθὸν ὑπονοίας καὶ ὑποψίας οὐ χρήζει, ὡς γινῶσκον πάντα· ἀναμένει δὲ μόνον ὑποπτεῦσαι καὶ ὑπονοῆσαι τὴν χρήζουσαν τούτου ψυχήν, πρὸς ἣν ἀπευθύνει τὰς δεούσας νύξεις, ὅπως, αἰσθομένης καὶ ὁρμηθείσης, ἔλθωσιν εἰς συνάφειαν.

Μεταξὺ τοῦ ὑλικοῦ σώματος καὶ τοῦ ὑλικοῦ κόσμου ὑπάρχει ὁ αὐτὸς λόγος, ὃς ὑπάρχει καὶ μεταξὺ τῆς ψυχῆς καὶ τοῦ ἀγαθοῦ. Τουτέστι, καθὼς τὸ ἀγαθὸν ἔχει φύσιν τοῦ πληροῦν τὴν ἔνδειαν τῆς ψυχῆς, οὕτω καὶ ὁ ὑλικὸς κόσμος ἔχει φύσιν τοῦ πληροῦν τὴν ἔνδειαν τοῦ ὑλικοῦ σώματος. Ἑκάτερον δέ, πολλὰ ὄν, διὰ τῆς συναρμογῆς καὶ συναφείας φαίνεται ἕν, καὶ ἑκάτερόν ἐςιν ὅλον ἐκ μερῶν συνηρμοσμένων, καὶ ἓν ἕκαστον μέρος τοῦ ἑνὸς ἀντιστοιχεῖ πρὸς ἓν ἕκαστον μέρος τοῦ ἑτέρου· οἷον ὀφθαλμὸς πρὸς φῶς, ἀκοὴ πρὸς ἤχους, πνευστικὰ ὄργανα πρὸς ἀέρα, γευστικὰ πρὸς ἐδωδήν, ὄσφρησις πρὸς εὐώδη, κλπ. ἀμφότερα δέ εἰσιν εἰς ἐπαφήν, καὶ τὸ σῶμα, ἅμα ἐκσπασθὲν τῆς γαστρός, ἐμπίπτει εἰς τὰ θεραπεύοντα τὰς ἑαυτοῦ χρείας. Ἡ δὲ ψυχὴ ἐν πρώτοις ἀγνοεῖ ὅλως ἑαυτήν· αὐξανομένου δὲ τοῦ σώματος ἐν τῇ ἀπολαύσει τῶν ἑαυτοῦ ἀγαθῶν, ἄρχεται λαμβάνειν συνείδησίν τινα ἑαυτῆς, καὶ συνήδεσθαι τῇ τοῦ σώματος θεραπείᾳ, ὥστε, ἀνδρωθεῖσα ἐν αὐτῷ, ὁρμᾷ προθύμως εἰς τὰς τούτου ὑπηρεσίας, θεωροῦσα ἴδιον ἀγαθὸν τὸ ἀγαθὸν ἐκείνου. Καί, εἰ συνέβαινεν ἕκαστον μέρος τοῦ σώματος ἐν μέτρῳ καὶ ἀναλογίᾳ ἀπολαύειν τοῦ ἑαυτοῦ ἀντικειμένου, καὶ ζῆν διὰ παντὸς ἀπόνως τε καὶ εὐτυχῶς, οὐκ ἄν ποτε ἡ ψυχὴ ἠδύνατο ἐπιγνῶναι ἑαυτήν, καὶ ὑποπτεῦσαι καὶ ζητῆσαι τὸ ἑαυτῆς ἀγαθόν, ἀλλ' ἔστεργεν ἂν αἰωνίως οὕτω δουλεύειν τῷ σώματι· ἀλλὰ σκόπει τὰ ἐνταῦθα συμβαίνοντα. Ἡ ψυχή, αὐξανομένου τοῦ σώματος, καὶ ἀπολαύοντος τῶν οἰκείων ἀγαθῶν, ἀναπτύσσει τρεῖς ἀρχικὰς ἐπιθυμίας φύσεως ἀπείρου, ἐν πρώτοις ἐπὶ τοῦ πεπερασμένου σώματος ἐστραμμένας καὶ ἐν αὐτῷ ἐφαρμοζομένας· τὴν ἐπιθυμίαν τοῦ ζῆν, ἤτοι τοῦ συνεῖναι τῷ σώματι καὶ

SISMANOGLIO MEGARO



ἥδεσθαι ἐν αὐτῷ· τὴν ἐπιθυμίαν τοῦ εἰδέναι, ἤτοι τοῦ γινώσκειν τὰ δι' ὧν ζῇ ἐν τῷ σώματι· καὶ τὴν ἐπιθυμίαν τοῦ ἐνεργεῖν, ἤτοι τὴν δύναμιν τοῦ πορίζεσθαι τὰ συντηροῦντα τὸ σῶμα, καὶ ἀποκρούειν τὰ βλαπτικὰ καὶ καταστρέφοντα. Εὑρίσκει ἐν ἑαυτῇ γνωστικήν τινα δύναμιν δι' ἧς πειρᾶται μανθάνειν, εὑρίσκει καὶ δραστικήν τινα ἱκανότητα, ὑποτασσομένου τοῦ σώματος εἰς πάντα τὰ ἑαυτῆς νεύματα, δι' ἧς δρᾷ καὶ ἀντιδρᾷ πρὸς τὸν ἐξωτερικὸν κόσμον. Οὗτός ἐςιν ὁ θαυμάσιος μηχανισμὸς τοῦ ἀρίστου τούτου δημιουργήματος· καὶ προσηλώσωμεν ἐπ' αὐτοῦ τὸ τῆς διανοίας βλέμμα, ὅπως κατίδωμεν νόημα θεῖον, « Ὅτι τὰ ἀόρατα τοῦ Θεοῦ τοῖς ποιήμασι » νοούμενα καθορᾶται » γνῶσίν τε ἀπόκρυφον, ὁδηγηθῶμεν δὲ καὶ ἐπὶ τοῦ προκειμένου προβλήματος τὴν λύσιν. Αἱ τρεῖς ἀρχικαὶ ἐπιθυμίαι εἰσὶ φύσεως ἀπείρου, καὶ ἀδύνατον πληρωθῆναι ὑπὸ τῶν πεπερασμένων ὄντων πρὸς ἃ ἀμέσως στρέφονται· ἀλλ' ὑπὸ μόνου τοῦ ἀγαθοῦ, ἐπίσης ἀπείρου τὴν φύσιν, ἀναλόγως τοῦ ὁποίου κατεσκευάσθησαν· διὸ καὶ γέγραπται « Χορτασθήσομαι ἐν τῷ » ὀφθῆναί μοι τὴν δόξαν σου ». Ἡ δὲ γνωστική τε καὶ δραστικὴ δύναμις τυγχάνουσι φύσει περιωρισμέναι, οὔτε γινώσκειν οὔτε δρᾶν πάντα δυνάμεναι, ἀλλ' ἐλάχιστα μάλα. Ὁρᾷς οὖν, ὅτι αἱ δυνάμεις τῆς ψυχῆς πρὸς τὰς ἑαυτῆς ἐφέσεις οὐδεμίαν ἔχουσιν ἀναλογίαν. Ἡμεῖς δὲ δυνάμεθα ἤδη γνῶναι καὶ ἐξηγῆσαι τὸν νοῦν τοῦ Δημιουργοῦ ἐν ταύταις ταῖς λέξεσιν. Ὁρίζω τὰς ἀπείρους ἐφέσεις τῆς ψυχῆς πληρωθῆναι ὑπὸ τοῦ ἀγαθοῦ ἀπείρου τὴν φύσιν. Ὁρίζω τῇ γνωστικῇ καὶ δραςικῇ δυνάμει ἀνάλογον αὐταῖς ἔργον, τουτέςι τὴν προσαγωγὴν τῆς ψυχῆς πρὸς τὸ ἑαυτῆς ἀγαθόν. Νόει μοι ἤδη τὴν ψυχὴν ὡς περιστεράν, σῶμα μὲν

ἔχουσαν τὰς ἐπιθυμίας, πτέρυγας δὲ τὰς δύο δυνάμεις, δι' ὧν φέρεται, ὅπη ἂν φέρηται. Καὶ μελῳδεῖ μετὰ τοῦ Προφητάνακτος « Τίς δώσει μοι πτέρυγας ὡσεὶ περιστερᾶς καὶ πετα- » σθήσομαι καὶ καταπαύσω ; » Ἤ, νόησόν μοι τὰς ἐπιθυμίας, ὡς στόμα πειναλέον· τὸ ἀ γ α θ ό ν, ὡς τροφὴν ἄφθονον· τὰς δύο δυνάμεις, ὡς δύο χεῖρας, αἵτινες ἐπὶ τοῦ ἀ γ α θ ο ῦ ἐφιπτάμεναι, εἰσφέρουσιν ἐν τῷ στόματι. Καὶ ᾄδε αὖθις σὺν τῷ αὐτῷ Προφητάνακτι « Ἐκ τούτου φά- » γονται πένητες καὶ ἐμπλησθήσονται, καὶ αἰνέσουσι » Κύριον οἱ ἐκζητοῦντες αὐτόν, ζήσονται αἱ καρδίαι αὐ- » τῶν εἰς αἰῶνα αἰῶνος ».

Ἐμβλέψαντες οὕτως εἰς τὸ θαυμάσιον τῆς θείας σοφίας ἔργον, καὶ τὸν ἐν αὐτῷ κείμενον θεῖον νοῦν ἀνιχνεύσαντες, φῶς θεῖον εἰσδεξάμενοι ἐν τῷ ἡμετέρῳ ὀφθαλμῷ, δυνάμεθα ἤδη καθορᾷν καὶ ἐξηγεῖν τὰ ἀνθρώπινα, καὶ ἐξάγειν, οὕτως εἰπεῖν, εἰς φῶς τὰ ἀπόκρυφα. Καθάπερ γὰρ ὁ τοῦ σώματος ὀφθαλμός, ἐν ἀπουσίᾳ φωτός, οὐ μόνον οὐ δύναται βλέπειν καὶ διακρίνειν τὰ πέριξ σώματα, ἀλλὰ καὶ αὐτὸ τοῦτο τὸ σῶμα, ἐν ᾧ κεῖται· οὕτω καὶ τὸ ψυχικὸν ὄμμα οὐ δύναται βλέπειν αὐτήν τε τὴν ψυχὴν καὶ τὰ περὶ αὐτήν, θείου φωτὸς ἐστερημένον. Καὶ καθάπερ παρουσία φωτὸς τὰ σκοτεινὰ πάντα φαίνει, καὶ δείκνυσιν ἕκαστον οἷόν ἐστι· οὕτω καὶ λάμψις τις ἐκ τῆς φωταυγοῦς ἐκείνης δόξης τὴν αὐτὴν ἀναλόγως ἔχει δύναμιν· διὸ καὶ μελῳδῶ μετὰ τοῦ ψαλμῳδοῦ « Σὺ Κύριε » ὁ Θεός μου φωτιεῖς τὸ σκότος μου, ὅτι σκότος οὐ σκο- » τισθήσεται ἀπὸ σοῦ, καὶ νὺξ ὡς ἡμέρα φωτισθήσεται ».

Τοιούτου ὄντος τοῦ μηχανισμοῦ τῆς ψυχῆς, καὶ τοιούτου ὄντος τοῦ θείου βουλήματος, ὁ ἄνθρωπος ἐπιλαθόμενος ἑαυτοῦ, καὶ ἐκλαβὼν ὡς μόνον ἑαυτοῦ ἀγαθὸν τὴν ἐν τῷ σώματι ἡδονὴν τὴν προξενουμένην ἐκ τῶν ὑλικῶν ἀντι-

SISMANOGLIO MEGARO



κειμένων, τὰς μὲν δύο δυνάμεις τῆς ψυχῆς, τὴν γνωστικήν τε καὶ δραστικήν, στρέφει πρὸς τὸν κόσμον πειρώμενος καταμαθεῖν ὅλον, κατεξουσιάσαι ὅλου, δι' αὐτῶν δὲ τῶν πεπερασμένων ὑλικῶν σωμάτων πληρῶσαι τὰς ἀπείρους ἐφέσεις τῆς ἑαυτοῦ ψυχῆς, καὶ οὐχὶ δι' αὐτῶν θεραπεῦσαι μόνον τὰς πεπερασμένας χρείας τοῦ σώματος. Οὕτω δὲ διεστραμμένος καὶ ἀντικείμενος τῷ ἑαυτοῦ μηχανισμῷ καὶ τῷ θείῳ βουλήματι, πῶς οὐ πονήσει οὐ μόνον ἀνόνητα, ἀλλὰ καὶ ἑαυτῷ ὀλεθριώτατα ; Ἰδοὺ ἡ μία καὶ ἀρχικὴ πηγὴ τῶν ἀνθρωπίνων δυστυχημάτων ἔχουσα πλείστους ὅσους διακλαδισμοὺς καὶ διαιρέσεις, ὧν ἐγὼ ἐνταῦθα ὑποδεικνύω τὰς γενικωτέρας, ἀφεὶς εἰς τὴν ὀξυδέρκειαν τοῦ ἀναγνώστου διορᾷν τὰς ἐν τοῖς γενικοῖς μερικότητας.

Ὑπάρχει ἐν τῇ κοινωνίᾳ μερίς τις ἀνθρώπων, οἵτινες καλοῦνται φιλόσοφοι. Οὗτοι, χρώμενοι τῇ γνωστικῇ δυνάμει, πειρῶνται δι' αὐτῆς κατανοῆσαι πάντα καὶ πληρῶσαι δι' αὐτῆς τὴν ἄπειρον ἔφεσιν τοῦ εἰδέναι. Τὸ πρῶτον ἄτοπον, εἰς ὃ οὗτοι ἀσυνέτως περιπίπτουσιν, ἐστιν ὅτι ἄρχονται βαδίζειν ἑνὶ ποδί, ἢ πέτεσθαι μιᾷ μόνῃ πτέρυγι, ὅτι ἀμελοῦσιν ὅλως τῆς πράξεως ἀποκλειστικῶς διδόμενοι εἰς μόνην τὴν θεωρίαν, καὶ οὕτω γίνονται, κατὰ Πλάτωνα, ἀδολέσχαι καὶ μετεωρολέσχαι καὶ ἄχρηστοι ταῖς πόλεσι. Τὸ δεύτερον, ὃ καὶ μέγιστον, ὅτι ἐλαχίστῃ δυνάμει ἐπείγουσιν ἑαυτοὺς ἆραι καὶ βαστάσαι τὸ ὕψιστον τῆς παγγνωσίας ὄρος, ὥσπερ ὁ μυθώδης Ἡρακλῆς τὰ ὄρη τοῦ Ἄτλαντος. Τί δὲ πάσχουσιν οἱ γεννάδαι οὗτοι ; Τελευτῶσιν εἰς τὸν Πυῤῥωνισμόν, τὸν νῦν λεγόμενον σκεπτισμόν, ἤτοι εἰς τὴν ἄρνησιν τῆς ἀληθείας· τουτέστι, συντρίβουσι τὴν γνωστικὴν δύναμιν τῆς ψυχῆς· καί, ἐπειδὴ οὐδὲν ἔπειτα δύνανται γνῶναι, λέγουσιν, ὅτι οὐκ ἔστιν ἀλήθεια· τὸ δ' ἀληθές, αὐτοῖς οὐκ ἔστι γνωστικὴ δύναμις,

ὅτι ταύτην συνέτριψαν ὑπὸ βάρος ἀβάστακτον. Καὶ καθὼς οἱ πολύποδες ἐκτείνοντες τοὺς ἑαυτῶν πλοκάμους εἰς λῆψιν τροφῆς, ἐπὰν μὴ εὕρωσι, κατεσθίουσιν αὐτοὺς τούτους τοὺς πλοκάμους, οὕτω καὶ οἱ φιλόσοφοι ἐκτείνοντες τὰς γνωστικὰς δυνάμεις, ὅπως κορέσωσι τὴν ἀχανῆ ἐπιθυμίαν τοῦ εἰδέναι, καὶ μὴ συλλαμβάνοντες γνῶσιν ἀνάλογον, κατεσθίουσιν ἔπειτα αὐτὰς ταύτας τὰς δυνάμεις, καὶ ἀποτίκτουσι τέρατα ἐννοιῶν· οἱ μὲν λέγοντες, ὅτι οὐχ ὑπάρχουσι σώματα· οἱ δὲ, ὅτι οὐχ ὑπάρχουσι πνεύματα· οἱ μὲν, ὅτι ὁ κόσμος ἐστὶ δημιούργημα τῆς ψυχῆς· ἕτεροι δὲ πάλιν, ὅτι Θεός ἐςιν ὁ φαινόμενος κόσμος· ματαιούμενοι, κατὰ Παῦλον, ἐν τοῖς διαλογισμοῖς αὐτῶν, « καὶ φάσκοντες εἶναι σοφοὶ ἐμωράνθησαν ».

Ὑπάρχει ἐν τῇ κοινωνίᾳ ἑτέρα μερὶς ἀνθρώπων ἐπίζηλος καὶ ἐπίφθονος, καὶ οὗτοί εἰσιν οἱ λεγόμενοι πολιτικοί. Καὶ οὗτοι ἀντιθέτως τοῖς φιλοσόφοις, μονόποδες ἢ μονοπτέρυγες, χρῶνται μόνῃ τῇ δραστικῇ δυνάμει, ἀμελοῦντες τῆς γνώσεως, καὶ ἐν σκότει, οὕτως εἰπεῖν, ἐργαζόμενοι. Οὐ νοοῦμεν δέ, ὅτι πάντῃ εἰσὶν ἐστερημένοι γνώσεως· ἀλλ' ὅτι πλέον ἐπείγονται δρᾷν ἢ γινώσκειν, καὶ ἐπιβαρύνοντες τὸ ἕτερον τῆς πλάστιγγος ἐκπίπτουσιν εἰς ἀμετρίαν. Οὗτοι, δι' ὧν ἔχουσι δυνάμεων, ἐπιζαφελῶς μενεαίνουσιν, Ὁμηρικῶς εἰπεῖν, κατακρατῆσαι πάντων, κατεξουσιάσαι πάντων, οὐκ εἰδότες τί ποιοῦσι, καὶ διατί ποιοῦσι· δυνάσται δὲ καὶ τύραννοι γενόμενοι, καταστρέψαντες πολλοὺς ἄλλους, καταστρέφουσι καὶ οὗτοι ἐπὶ τέλους τὸν βίον, παράδειγμα σωφρονισμοῦ τοῖς βουλομένοις μόνον προκείμενοι. Τὴν κενοσπουδίαν τῶν φιλοσόφων, καὶ τὴν πλεονεξίαν τῶν πολιτικῶν, τὸ μονόπουν καὶ τὸ μονοπτέρυγον ἑκατέρων διοπτεύσας καὶ ὁ Πλάτων, ὁ ἀξιαίπαινος οὗτος θεράπων τῆς σοφίας ἐν τῇ ἑαυτοῦ

SISMANOGLIO



γενεᾷ, ἀπεφάνθη τὴν ἐν μέρει συνετὴν ἐκείνην γνώμην « Ἐὰν μὴ οἱ φιλόσοφοι βασιλεύσωσιν ἐν ταῖς πόλεσιν, » ἢ οἱ βασιλεῖς τε νῦν λεγόμενοι καὶ δυνάσται φιλοσο» φήσωσι γνησίως τε καὶ ἱκανῶς, καὶ τοῦτο εἰς ταὐτὸν » ξυμπέσῃ, δύναμίς τε πολιτικὴ καὶ φιλοσοφία, τῶν δὲ » νῦν πορευομένων χωρὶς ἐφ' ἑκάτερον αἱ πολλαὶ φύσεις » ἀποκλεισθῶσι, οὐκ ἔστι κακῶν παῦλα, ὦ φίλε Γλαύκων, » ταῖς πόλεσι, δοκῶ δὲ οὐδὲ τῷ ἀνθρωπίνῳ γένει ».

Ἕτεραι δὲ τῆς κοινωνίας τάξεις φιλήδονοι καὶ φιλοχρήματοι, ἄποδες καὶ ἀπτέρυγες, ἀδύνατοι κινεῖσθαι ἐν τῷ πεδίῳ τῆς πράξεως ἢ τῆς θεωρίας, δίκην συῶν κυλινδοῦνται ἐν τῷ βορβόρῳ τῶν φαύλων ἐπιθυμιῶν, Τί φάγωμεν ἢ τί πίωμεν ἢ τί περιβαλλώμεθα μόνον μεριμνῶντες. Οὗτοι εἰς τρυφὴν καὶ πολυτέλειαν τελευτῶντες καταστρέφουσι τὸν βίον, ἢ σφαζόμενοι, δίκην θρεμμάτων, ὑπὸ τῶν πεινώντων ἰσχυρῶν, ἢ φθειρόμενοι ὑπὸ τῶν θυμοφθόρων ἀσθενειῶν τῆς ἀσωτείας, ἐν ᾗ βιοῦσι. Ἰδοὺ λοιπὸν φαίνεται ἡ ἀνθρωπότης μεμερισμένη, ἐκλελυμένη, ἐν σκότει καὶ σκιᾷ θανάτου καθημένη, ἀγνοοῦσα πόθεν ἔρχεται καὶ ποῦ ὑπάγει. Ἰδοὺ ὁρῶμεν τὴν κενοσπουδίαν, τὴν πλεονεξίαν καὶ τὴν τρυφήν, ὡς τρικέφαλον τέρας λυμαινόμενον ἀπ' αἰώνων τὴν ἀνθρωπότητα. Τίκτει δὲ τοῦτο ἀκόρεστος ἐπιθυμία καὶ ἀγαθοῦ ἄγνοια. Ὅπως δὲ σχῶμεν ἀκλόνητον πεποίθησιν ἐπὶ τῆς ἡμετέρας θεωρίας, ἐρωτήσωμέν τινα τῶν ἐρευνώντων τοὺς νόμους τῆς φύσεως, ποῦ θεμελιοῦται καὶ ἑδράζεται ὁ μέγας οὗτος τῆς βαρείας καὶ φιλοπτώτου ὕλης κόσμος; Εἰ τῷ ὄντι μεμύηται ἐν τοῖς ἀποκρύφοις τῆς φύσεως, ἀποκριθήσεται ἡμῖν, ὅτι ὁ μέγας οὗτος τῆς βαρείας καὶ φιλοπτώτου ὕλης κόσμος ἑδράζεται καὶ θεμελιοῦται ἐπὶ τοῦ θαυμασίου νόμου τῆς ἀναλογίας καὶ τῆς ἰσοῤῥοπίας

Ἄφελε τὸν νόμον τοῦτον ἐκ τῆς φύσεως, καὶ ἅμα συμβήσεται σύγχυσις, σύγκρουσις, διάλυσις καὶ καταστροφή. Τότε διαλογιζόμενοι ἐροῦμεν ἐν ἡμῖν αὐτοῖς· ἐπειδὴ λοιπὸν ἡ ἀνθρωπότης ἀθετεῖ τὸν νόμον τῆς ἀναλογίας καὶ τῆς ἰσοῤῥοπίας, διὰ τοῦτο πάσχει τὴν σύγχυσιν, τὴν σύγκρουσιν, τὴν διάλυσιν καὶ τὴν καταστροφήν. Ἡ δὲ ἔξω φύσις, ὡς ἐμμένουσα ἐν τῷ θείῳ τούτῳ νόμῳ, διὰ τοῦτο χαίρει μᾶλλον ἢ ἡ ἀνθρωπότης τὴν συναρμογήν, τὴν τάξιν καὶ τὴν συντήρησιν. Γνωμοδοτοῦμεν τοίνυν καὶ ἡμεῖς περὶ τῆς θεραπείας τῶν ἀνθρωπίνων δυστυχημάτων οὑτωσὶ λέγοντες· ἐὰν μὴ ὁ βασιλεὺς τῆς φύσεως παραγενόμενος βασιλεύσῃ καὶ ἐπὶ τῆς ἀνάρχου καὶ ἀτάκτου ἀνθρωπότητος, καὶ κυβερνήσῃ αὐτὴν τῷ θείῳ τῆς ἀναλογίας καὶ ἰσοῤῥοπίας νόμῳ, οὐκ ἔστι κακῶν παῦλα ταῖς πόλεσι, δοκῶ δὲ οὐδὲ τῷ ἀνθρωπίνῳ γένει. Τὸ προκείμενον ἄρα ζήτημα, εἰ ἔςι τις θεραπεία τῶν κακῶν τῷ ἀνθρωπίνῳ γένει, ἔστιν ἡμιλελυμένον, εἰ δέδεικται ἀποχρώντως ἡ αἰτία τῶν ἐν ἀνθρώποις δεινῶν· ἔσται δὲ πληρέστατα λελυμένον, ἐὰν ἀναπτύξωμεν τὴν ἡμετέραν γνώμην τὴν ἀποφαινομένην περὶ τῆς θεραπείας τῶν ἀνθρωπίνων δυστυχημάτων, ὅπερ καὶ ἐπιχειροῦμεν ἤδη.

Ἀναμνησθῶμεν, ὅτι προὐθέμεθα ἐν πρώτοις δεῖξαι τὴν ἀρχικὴν αἰτίαν τῶν ἀνθρωπίνων δυστυχημάτων, καὶ εἴπομεν, ὅτι αὕτη ἐστὶ τοῦ ἀγαθοῦ ἀστοχία τε καὶ στέρησις. Ἐζητήσαμεν τὰ αἴτια τῆς ἀστοχίας, καὶ εὕρομεν αὐτὰ ἐν τῷ ζητοῦντι ἐκτὸς ἑαυτοῦ τὸ ἀγαθὸν ἀνθρώπῳ, ὅστις ἀπείρους ἐφέσεις ἔχων καὶ περιωρισμένας δυνάμεις ἀποπειρᾶται τὴν πλήρωσιν ἐκείνων δι' αὐτῶν ἐν τοῖς πεπερασμένοις ὑλικοῖς σώμασι τοῦ καθ' αὑτὸ ἀγαθοῦ παντάπασιν ἐπιλαθόμενος. Ἐν ἄλλαις λέξεσι, τὰ δεινὰ ἐν τοῖς ἀνθρώποις ἐγγίγνονται διὰ τὴν ἄγνοιαν τοῦ ὑπερκάλου Λόγου, καὶ τὴν ἀθέτησιν ἑπομένως τοῦ νόμου τῆς ἀναλογίας. Ἐπειδὴ δὲ ἐθέμεθα, ὅτι τὸ ἀγαθόν ἐςιν ἅμα καὶ ζητούμενον καὶ ζητοῦν, ἀφοῦ εἴδομεν, πῶς κινεῖται ὁ ἄνθρωπος ἐν τῇ ζητήσει τοῦ ἀγαθοῦ, λείπεται ἰδεῖν, πῶς κινεῖται καὶ τὸ ἀγαθὸν ἐν τῇ τοιαύτῃ ἀποπλανήσει τοῦ ἀνθρώπου, ζητοῦν τὸν ἀπ' αὐτοῦ ἀποπλανηθέντα ἄνθρωπον. Λέγοντες δὲ κίνησιν τοῦ ἀγαθοῦ, νοοῦμεν μόνον τρόπον ἐνεργείας, καὶ οὐχὶ μετάβασιν τοπικήν, ὡς ἐπὶ τῶν πεπερασμένων ὑλικῶν σωμάτων· ὥστε ἀκριβέστερον ἐκφραζόμενοι λέγομεν, πῶς ἐνεργεῖ τὸ ἀγαθὸν πρὸς τὸν ἀπ' αὐτοῦ ἀποπλανηθέντα ἄνθρωπον.



Τὸ ἀγαθόν, αὔταρκες ὄν, πάντ' ἔχον, μηδενὸς δεόμενον, φύσιν ἔχει τοῦ πληροῦν τὰς χρείας πάντων τῶν ἐνδεῶν κτισμάτων, καὶ οὕτω διασώζειν αὐτά. Ἐπειδὴ δὲ τῶν κτισμάτων τὰ μὲν εἰσὶ φυσικά, τουτέστιν, ἄνευ συνειδήσεως καὶ ἐλευθερίας, τὰ δὲ ἠθικά, τουτέστιν εὐμοιροῦντα συνειδήσεως καὶ βουλήσεως ἐλευθέρας, διὰ τοῦτο τὸ ἀγαθόν, τὰ μὲν διεξάγει τῷ νόμῳ τῆς ἀνάγκης, τὰ δὲ τῷ νόμῳ τῆς πειθοῦς. Ὥςτε καὶ τὸν ἄνθρωπον εἰς τὴν τάξιν τῶν ἠθικῶν ὄντων τεταγμένον ἕλκει πρὸς ἑαυτὸ τὸ ἀγαθὸν τῷ τῆς πειθοῦς νόμῳ. Ὁ δὲ ἐλεύθερος ἄνθρωπος πειθόμενος ἢ ἀπειθῶν σώζεται ἢ ἀπόλλυται.

Τὸ ἀγαθὸν ἐν πρώτοις ἐπικοινωνεῖ τῷ ἀνθρώπῳ διὰ τῆς ἐν αὐτῷ γνωστικῆς δυνάμεως ἐχούσης λόγον πρὸς τὸν ἔσω ἄνθρωπον, οἷον ὁ ὀφθαλμὸς πρὸς τὸν ἔξω. Καὶ καθὼς ὁ ἥλιος, ἐπὶ πολὺ μὲν ἀφίσταται τοῦ ὀφθαλμοῦ, συνεφάπτεται δὲ αὐτῷ διὰ τῶν ἀκτίνων, οὕτω καὶ

SISMANOGLIO

τὸ ἀ γ α θ ό ν, ὁ ἥλιος οὗτος τῶν νοερῶν οὐσιῶν, τρόπῳ καὶ οὐχὶ τόπῳ ἀπέχον τοῦ ἀνθρώπου, συνεπικοινωνεῖ ὅμως αὐτῷ διὰ τῶν νοερῶν ἀκτίνων, ὡς γέγραπται, « Ἦν τὸ φῶς τὸ ἀληθινὸν, τὸ φωτίζον πάντα ἄνθρωπον » ἐρχόμενον εἰς τὸν κόσμον ». Ἐν ᾧ λοιπὸν ἡ ψυχὴ συνήδεται ἐν τῇ τοῦ σώματος θεραπείᾳ, καὶ ἐπιλελησμένη τοῦ οἰκείου ἀ γ α θ ο ῦ φέρεται ἀμέτρως πρός τε τὴν χρῆσιν καὶ τὴν κτῆσιν τῶν σωματικῶν ἀγαθῶν, τὸ ἀ γ α θ ὸ ν ἀκτινοβολεῖ πρὸς τὴν γνωστικὴν δύναμιν νοήματα διδακτικά, πειστικά, ἀλλ' οὐ βιαστικά, δι' ὧν ἀνακαλεῖ τὴν ψυχὴν πρὸς ἑαυτήν, διδάσκον, ὅτι τὸ ἀγαθὸν τοῦ σώματος οὐκ ἔστιν ἀγαθὸν ἑαυτῆς, καὶ ἀπαγορεῦον τὴν πλεονεκτικὴν καὶ ἄδικον ἐνέργειαν πρὸς τὴν κτῆσιν αὐτοῦ, καθὼς καὶ τὴν ἄμετρον τούτου ἀπόλαυσιν. Ἐντεῦθεν ἄρχεται πάλη μεταξὺ τῶν παθῶν καὶ τοῦ λόγου, πάλη, ἣν ὁ θεῖος Παῦλος μαρτυρεῖ λέγων « Βλέπω δὲ ἕτερον » νόμον ἐν τοῖς μέλεσί μου ἀντιστρατευόμενον τῷ νόμῳ » τοῦ νοός μου »· πάλη, ἣν συνεῖδον καὶ ἐμαρτύρησαν οἱ σοφοὶ πάντων τῶν ἐθνῶν, πάλη, ἣν αἰσθάνεται πᾶς ἄνθρωπος εἰς πολλὰς τοῦ βίου περιστάσεις, πάλη, εἰς ἣν ὡς ἐπὶ τὸ πλεῖστον θριαμβεύει τὸ πάθος κατὰ τοῦ λόγου, ἢ μᾶλλον εἰπεῖν, εἰς ἣν ὁ ἄνθρωπος ἀθετεῖ τὸν μὴ βιαζόμενον λόγον αἰχμαλωτιζόμενος ὑπὸ τοῦ τυραννοῦντος πάθους δι' ἔλλειψιν συνέσεως, ὡς πάλιν γέγραπται « Καὶ » αἰχμαλωτίζοντάς με τῷ νόμῳ τῆς ἁμαρτίας, τῷ ὄντι » ἐν τοῖς μέλεσί μου ». « Οὐ γὰρ ὃ θέλω τοῦτο πράσσω, ἀλλ' ὃ μισῶ, τοῦτο ποιῶ »· φησὶ δὲ καὶ ὁ λεγόμενος ἀπὸ σκηνῆς φιλόσοφος

> Καὶ γινώσκω μὲν οἷα δρᾷν μέλλω κακά,
> Θυμὸς δὲ κρείσσων τῶν ἐμῶν βουλευμάτων

Νόησόν μοι ἤδη, ἔνθεν μὲν πάντας ἀνθρώπους ἔχοντας



νῶτα πρὸς τὸ ἀ γ α θ ὸ ν καὶ φερομένους κατὰ κρημνοῦ εἰς ἀπώλειαν, ἔνθεν δὲ αὐτὸ τὸ ἀ γ α θ ὸ ν ἐλέῳ καὶ οἴκτῳ καταδιῶκον καὶ καλοῦν πρὸς ἑαυτὸ τοὺς φεύγοντας. Ἐλάχιστοι μόνον ἐκ τῶν φευγόντων ἀκούουσι τῆς φωνῆς αὐτοῦ, καὶ πειθόμενοι στρέφουσι πρὸς αὐτό. Οἱ δὲ λοιποὶ ἢ ἀκούοντες οὐ πείθονται, ἢ οὐδαμῶς ἀκούουσι διὰ τὴν παχύτητα τῆς ἑαυτῶν αἰσθήσεως. Τί τὸ μετὰ τοῦτο γινόμενον; Τοὺς ὀλίγους τούτους τοὺς ἀκηκοότας τῆς φωνῆς τοῦ ἀ γ α θ ο ῦ καὶ εὑρόντας τὴν ὁδὸν τῆς σωτηρίας, ἀποστέλλει τὸ ἀ γ α θ ὸ ν πρὸς τοὺς ὁδὸν ἀπωλείας πορευομένους, ἵνα διδάξωσι καὶ νουθετήσωσι τοὺς ὁμοίους αὐτοῖς, στόμα πρὸς στόμα λαλοῦντες, καὶ διὰ τοῦ ἰδίου παραδείγματος πείσωσιν ἐπιστρέψαι πρὸς τὴν ζωὴν ἀποσπασθέντας τῆς ματαιότητος· ἀλλὰ καὶ τούτοις οἱ πειθόμενοι ἐλάχιστοι, ὅτι ὁ ν ό μ ο ς τ ῆ ς σ α ρ κ ὸ ς α ἰ χ μ α λ ω τ ί ζ ε ι τ ῷ ν ό μ ῳ τ ῆ ς ἁ μ α ρ τ ί α ς. Τέλος, ἐπειδὴ ὁ βαρυκάρδιος ἄνθρωπος οὐ πείθεται καὶ οὐ βούλεται ἔξω γενέσθαι τοῦ σώματος τῷ τρόπῳ, οὐχὶ τῷ τόπῳ, καὶ ζητῆσαι τὸ ἑαυτοῦ ἀ γ α θ ό ν, αὐτὸ τὸ ἀ γ α θ ὸ ν πληροῦν πάντα τὰ ἑαυτοῦ, ἐξέρχεται τοῦ κόσμου, καὶ ἔρχεται εἰς ζήτησιν τοῦ πεπλανημένου ἀνθρώπου δικαιολογούμενον οὕτω·

« Τίς ἄνθρωπος ἐξ ὑμῶν ἔχων ἑκατὸν πρόβατα, καὶ » ἀπολέσας ἓν ἐξ αὐτῶν, οὐ καταλείπει τὰ ἐννενήκοντα » ἐννέα ἐν τῇ ἐρήμῳ, καὶ πορεύεται ἐπὶ τὸ ἀπολωλός, » ἕως εὕρῃ αὐτό; καὶ εὑρὼν ἐπιτίθησιν ἐπὶ τοὺς ὤμους » ἑαυτοῦ χαίρων, καί, ἐλθὼν εἰς τὸν οἶκον, συγκαλεῖ » τοὺς φίλους καὶ τοὺς γείτονας, λέγων αὐτοῖς, συγχάρητέ μοι, ὅτι εὗρον τὸ πρόβατόν μου τὸ ἀπολωλός. . . . » « Ἢ τίς γυνὴ δραχμὰς ἔχουσα δέκα, ἐὰν ἀπολέσῃ δραχμὴν μίαν, οὐχὶ ἅπτει λύχνον, καὶ σαροῖ τὴν οἰκίαν

» καὶ ζητεῖ ἐπιμελῶς, ἕως ὅτου εὕρῃ; καὶ εὑροῦσα συγ-
» καλεῖται τὰς φίλας καὶ τὰς γείτονας λέγουσα, συγ-
» χάρητέ μοι ὅτι εὗρον τὴν δραχμὴν ἣν ἀπώλεσα ». Ἔρ-
» χεται καὶ κρούει τὴν θύραν λέγον, ἐγώ εἰμι· « Δεῦτε
» πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι κἀγὼ
» ἀναπαύσω ὑμᾶς ». Θεραπεύει πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν, διδάσκει γνώσεις πληρούσας τὴν ἔφεσιν τοῦ εἰδέναι, νομοθετεῖ νόμον πληροῦντα τὴν ἔφεσιν τοῦ νομίμως ἐνεργεῖν, δίδωσι πνεῦμα ζωῆς εἰς τὰς θνητὰς καρδίας πληροῦν τὴν ἔφεσιν τοῦ αἰωνίως ζῆν, καὶ ἀποδείκνυσιν ἑαυτὸ ἐν πᾶσι τοῖς δυνατοῖς τρόποις τῆς πληροφορίας, καθ' ὅλην τὴν ἔκτασιν τοῦ νόμου τῆς πειθοῦς, ὅτι αὐτό ἐςι τὸ καθ' ἑαυτὸ ἀ γ α θ ό ν, ὡς πληροῦν τὴν ἔνδειαν πᾶσαν τοῦ ἀνθρώπου, καὶ ἐν γένει πάντων τῶν λοιπῶν κτισμάτων, καί, καθὸ ἀ γ α θ ό ν, ποιεῖ πάντα τὰ ἑαυτοῦ μέχρι κεραίας, πείθει πολλοὺς ἐκ τῶν ἀνθρώπων, πιστεύεται ὑπὸ πολλῶν ἀνθρώπων, καὶ βασιλεῦον ἐπ' αὐτῶν οἰκοδομεῖ κοινωνίαν πράγματι τελείαν, κακῶν κρείττονα, προωρισμένην ἐξομοιῶσαι καὶ συγχωνεῦσαι ἐν ἑαυτῇ πᾶσαν τὴν ἀνθρωπότητα.

Νόησόν μοι ἤδη πάντας τοὺς ἀνθρώπους πορευομένους εἰς σκότος βαθὺ οὐκ εἰδότας, πόθεν ἔρχονται, καὶ ποῦ ὑπάγουσι, καὶ πρὸς ἀλλήλους δι' ἔλλειψιν φωτὸς συγκρουομένους· ὅτι, ἐν τῷ βαθυτάτῳ τούτῳ σκότει, φαίνουσι μέν τινες ἀστέρες ὑπὸ τοῦ ἡλίου φωτισθέντες, ἀλλ' ἐν τῷ φωτὶ αὐτῶν οὐ δύνανται οἱ πορευόμενοι βαίνειν ἐπ' εὐθείας· ἀλλ' ἔπειτα ἀνατέλλει αὐτὸς ὁ ἥλιος ἐν ἀπλέτῳ φωτὶ φωτίζων πάντα καὶ ζωογονῶν πάντα. Ἡ πορεία ἑκάστου ῥυθμίζεται, συγκρούσεις ὡς πρότερον οὐ συμβαίνουσι, καὶ ἕκαστος τρέπεται ἐπὶ τὸ ἑαυτοῦ ἔργον, ἕως ἂν περάνῃ αὐτό. Οὕτω νοήσας, ἔχεις ἐν γένει καὶ διὰ ταύτης τῆς εἰκόνος

SISMANOGLIO MEGARO



τὴν περὶ τὸν πλανηθέντα ἄνθρωπον ἐνέργειαν τοῦ ἀ γ α θ ο ῦ, ἣν ὁ Προφητάναξ προφητικῶς οὕτως ἐμελῴδησεν·
« Ἐν τῷ ἡλίῳ ἔθετο τὸ σκήνωμα αὐτοῦ καὶ αὐτὸς ὡς
» νυμφίος ἐκπορευόμενος ἐκ παστοῦ αὐτοῦ, ἀγαλλιάσεται,
» ὡς γίγας, δραμεῖν ὁδόν, ἀπ' ἄκρου τοῦ οὐρανοῦ ἡ ἔξο-
» δος αὐτοῦ, καὶ τὸ κατάντημα αὐτοῦ ἕως ἄκρου τοῦ
» οὐρανοῦ, καὶ οὐκ ἔστιν ὃς ἀποκρυβήσεται τῆς θέρμης
» αὐτοῦ » . . . « Ἀνατελλεῖ ἐν ταῖς ἡμέραις αὐτοῦ δι-
» καιοσύνη καὶ πλῆθος εἰρήνης, ἕως οὗ ἀνταναιρεθῇ ἡ
» σελήνη, καὶ κατακυριεύσει ἀπὸ θαλάσσης ἕως θαλάσσης,
» καὶ ἀπὸ ποταμῶν ἕως περάτων τῆς οἰκουμένης ».

Θεωρήσαντες χωρὶς τὴν κίνησιν τοῦ ἀνθρώπου περὶ τὸ ἀ γ α θ ό ν, καὶ τὴν κίνησιν τοῦ ἀ γ α θ ο ῦ περὶ τὸν ἄνθρωπον, θεωρήσωμεν ἤδη ἀμφοτέρας περιληπτικῶς, ἀναμνησθέντες τὸ σημεῖον τῆς ἑκατέρων στάσεως.

Ὁ ἄνθρωπος ἐντυγχάνων ἐν πρώτοις τοῖς ἀγαθοῖς τοῦ σώματος ἔχει νῶτα πρὸς τὸ ἀ γ α θ ό ν, καὶ βιῶν ἔξω τοῦ νόμου τῆς ἀναλογίας καὶ τῆς ἰσοῤῥοπίας φέρεται κατὰ κρημνοῦ εἰς ἀπώλειαν. Τὸ δὲ ἀ γ α θ ὸ ν ἀνακαλεῖ τὸν ἄνθρωπον πρὸς ἑαυτό, πρῶτον διὰ τῆς φωνῆς τῆς λογικῆς δυνάμεως, πρὸς ἣν ἐπικοινωνεῖ ὥσπερ ἥλιος ὀφθαλμῷ· δεύτερον καλεῖ τὸν ἄνθρωπον πρὸς ἑαυτὸ διὰ λόγου προφορικοῦ (καὶ γραπτοῦ ἔπειτα) δι' ἀποστόλων γενομένων ἀξίων ἑαυτοῦ. Εἰς πάντα τὰ ἔθνη ἐφάνησαν κατὰ καιροὺς σοφοί τινες ἄνδρες διδάσκοντες τὸν ἐν δικαιοσύνῃ βίον καὶ τὴν ἀπόλαυσιν τοῦ ὄντος ἀ γ α θ ο ῦ. Ἡ Σοφία ἐπαινοῦσα ἑαυτὴν ἐν τῇ βίβλῳ τοῦ σοφοῦ Σειράχ, οὕτω λέγει « Ἐν βάθει ἀβύσσων περιεπάτησα, ἐν κύμασι θα-
» λάσσης, καὶ ἐν πάσῃ τῇ γῇ, καὶ ἐν παντὶ λαῷ καὶ
» ἔθνει ἐκτησάμην· μετὰ τούτων ἁπάντων ἐζήτησα ἀνά-
» παυσιν, καὶ ἐν κληρονομίᾳ τίνος αὐλισθήσομαι; Τότε

» ἐνετείλατό μοι ὁ κτίστης ἁπάντων, καὶ ὁ κτίσας με κατέπαυσε τὴν σκηνήν μου καὶ εἶπεν· « Ἐν Ἰακὼϐ κατασκήνωσον, καὶ ἐν Ἰσραὴλ κληρονομήθητι ». Ὁ δὲ » θεῖος Παῦλος λέγει· « Ἤ, Ἰουδαίων μόνον ὁ Θεός, οὐχὶ » δὲ καὶ ἐθνῶν; Ναὶ καὶ ἐθνῶν ». Εἰ τοίνυν ἡ Σοφία τοῦ Θεοῦ ἐκτήσατο ἐν παντὶ ἔθνει, εἰ ἦν τὸ φῶς τὸ ἀληθινὸν τὸ φωτίζον πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον, εἰ ὁ Θεὸς ἦν οὐ μόνον Ἰουδαίων ἀλλὰ καὶ ἐθνῶν, ἕπεται ἐκ τούτων, ὅτι ἐν παντὶ ἔθνει εἶχεν ὁ Κύριος ἄνδρας τινὰς θεοπρεπεῖς, δίκην ἀστέρων φωτίζοντας τοὺς ἐν σκότει καθημένους, μέχρι τῆς ἀνατολῆς τοῦ Ἡλίου τῆς δικαιοσύνης, ὃν οἱ προφῆται τοῦ Ἰσραὴλ ἐκάλουν φῶς ἐθνῶν, καὶ φῶς εἰς ἀποκάλυψιν ἐθνῶν. Οὐκ ἦν ἄρα μόνον τοῖς Ἰουδαίοις προνόμιον ἡ ἀποστολὴ τῶν θείων ἀνδρῶν. Ἀλλ' ἐπειδὴ ἡ Σοφία τοῦ Θεοῦ κατεσκήνωσεν ἐν Ἰακὼϐ καὶ κατεκληρονομήθη ἐν Ἰσραὴλ, ἔδει πάντως διὰ τῶν προφητῶν τοῦ Ἰσραὴλ ἀριδήλως προκηρυχθῆναι καὶ δι' αὐτῶν πιστωθῆναι τὴν ἀλήθειαν καὶ ἐν τοῖς ἔθνεσι. Τρίτον καλεῖ τὸν ἄνθρωπον πρὸς ἑαυτὸ αὐτὸ παραγενόμενον πρὸς τὸν ἄνθρωπον, ἐν μορφῇ ἀνθρώπου, οὗτινος θεραπεῦον πάσας τὰς χρείας, σωματικὰς ἅμα τε καὶ ψυχικάς, ἀποδείκνυσι τρανῶς καὶ ἐναργῶς, ὅτι αὐτὸ καὶ οὐχὶ ἄλλο ἐστὶ τὸ ὄντως ἀγαθόν, ἡ ἀρχὴ καὶ τὸ τέλος ὅλων τῶν κτισμάτων. Οὕτως φαίνεται διακείμενος ὁ ἄνθρωπος πρὸς τὸ ἀγαθὸν εὐθὺς ἐξ ἀρχῆς, καὶ οὕτως φαίνεται ἐνεργοῦν τὸ ἀγαθὸν πρὸς ἀνάστασιν καὶ σωτηρίαν τοῦ ἀνθρώπου. Ἐπειδὴ δὲ ὁ ἄνθρωπος ἐλεύθερος ἑλκόμενος πειθοῖ, ἀλλ' οὐ βίᾳ, διὰ τοῦτο οὔτε πάντες ἀπειθοῦσι τῇ σωτηρίῳ



φωνῇ, οὔτε πάντες πείθονται· ἀλλ' οἱ μὲν ἐμμένουσιν ἐν οἷς εἰσι κακοῖς πρὸς τὰ χείρω φερόμενοι, οἱ δὲ ἐκκλίνουσιν ἀπὸ τοῦ κακοῦ προσκολλώμενοι τῷ ἀγαθῷ, καὶ μακάριοι γίνονται. Οὗτοι δὲ οἱ περὶ τὸ ἀγαθὸν συνηγμένοι, καὶ διὰ τοῦ ἑνὸς εἰς ἓν συνημμένοι, ἀποτελοῦσι τὴν ὄντως κοινωνίαν, ἥτις οὐκ ἔχει μῶμον ἢ ῥυτίδα ἤ τι τῶν τοιούτων, καὶ καλοῦνται ἁγία Ἐκκλησία καὶ πόλις Σιών, ἧς τὴν φύσιν καὶ τὸν διοργανισμὸν δείξομεν ἐν τοῖς ἑπομένοις.

Ἰδοὺ προεφθάκαμεν τὴν πόλιν, ἧς χάριν ἠρξάμεθα
ὁδοιπορεῖν, καὶ οὐκ ἄπο τρόπου ἔσται ἡμῖν στᾶσι διασκέ-
ψασθαι τὴν διανυθεῖσαν ὁδὸν ἀπὸ τοῦ τῆς ἀναχωρήσεως
σημείου. Νενοήκαμεν ἐν πρώτοις τὰ κακά, ἐν οἷς δεινο-
παθεῖ ἡ ἀνθρωπότης κατά τε τὰς κοινωνίας καὶ τὰ ἄτο-
μα, καὶ ἐρωτήσαντες ἑπομένως, εἰ ἔστι τις θεραπεία τῶν
κακῶν τῷ ἀνθρωπίνῳ γένει, προὐθέμεθα δεῖξαι δυνάμει
τίνος καὶ κατὰ ποίας συνθήκας δύναται
πᾶς ἄνθρωπος καὶ πᾶσα κοινωνία εὑρεῖν
ἀπαλλαγὴν τῶν κακῶν καὶ κατορθῶσαι ἀεὶ
μὲν χαίρειν οὐδέποτε δὲ λυπεῖσθαι. Ἐζητή-
σαμεν νόμῳ ἰατρικῆς ἐπιστήμης τὴν ἀρχικὴν πηγὴν τῶν
ἀνθρωπίνων δυστυχημάτων, καὶ εὑρόντες αὐτὴν ἐν τῇ
ἀγνοίᾳ τοῦ καθολικοῦ ἀγαθοῦ ἢ ὑπερκάλου
Λόγου, καὶ ἐν τῇ ἀθετήσει τοῦ κοσμοσωτηρίου νόμου τῆς
ἀναλογίας, εὕρομεν τὴν θεραπείαν ἐν τῇ ὑποταγῇ ἡμῶν
τῷ βασιλεύοντι ἐπὶ τῆς φύσεως ἐν νόμοις ἀναλογίας, ὃς
παρεγένετο βασιλεῦσαι καὶ ἐπὶ τῆς ἀνάρχου καὶ ἀτάκτου
ἀνθρωπότητος, κατασταθεὶς βασιλεὺς ἐπὶ Σιὼν ὄρος τὸ
ἅγιον, ἐπὶ τῷ διαγγέλλειν τὸ πρόσταγμα Κυρίου, ὃς ἔλα-
ϐε παρὰ τοῦ Πατρὸς εἰς κληρονομίαν τὰ ἔθνη, καὶ εἰς κα-
τάσχεσιν τὰ πέρατα τῆς γῆς, ὃς κεκληρονόμηκε τὸν θρό-

νον Δαυὶδ τοῦ πατρός αὐτοῦ καὶ βασιλεύσει ἐπὶ τὸν οἶκον Ἰακὼβ εἰς τοὺς αἰῶνας, καὶ τῆς βασιλείας αὐτοῦ οὐκ ἔςαι τέλος. Οὕτω γὰρ γέγραπται ἐν τῷ δευτέρῳ ψαλμῷ· «Ἐγὼ δὲ κατεστάθην βασιλεὺς ὑπ' αὐτοῦ ἐπὶ Σιὼν ὄρος τὸ ἅγιον αὐτοῦ διαγγέλλων τὸ πρόσταγμα Κυρίου. Κύριος εἶπε πρός με, υἱός μου εἶ σύ, ἐγὼ σήμερον γεγέννηκά σε. Αἴτησαι παρ' ἐμοῦ, καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου, καὶ τὴν κατάσχεσίν σου τὰ πέρατα τῆς γῆς». Καὶ οὕτως λελάληκεν ὁ πρωτοστάτης ἄγγελος εὐαγγελιζόμενος τῇ Παρθένῳ τὴν ἄσπορον αὐτοῦ σύλληψιν. «Οὗτος ἔσται μέγας, καὶ υἱὸς Ὑψίστου κληθήσεται· καὶ δώσει αὐτῷ Κύριος ὁ Θεὸς τὸν θρόνον Δαυὶδ τοῦ πατρός αὐτοῦ, καὶ βασιλεύσει ἐπὶ τὸν οἶκον Ἰακὼβ εἰς τοὺς αἰῶνας, καὶ τῆς βασιλείας αὐτοῦ οὐκ ἔσται τέλος». Ἀφοῦ τοίνυν εἴδομεν *δυνάμει τίνος* εὑρήσομεν ἀπαλλαγὴν τῶν κακῶν, λείπεται ἡμῖν ἰδεῖν ἔτι καὶ τὸ *κατὰ ποίας συνθήκας* συμβήσεται ἡμῖν ἀεὶ μὲν χαίρειν, οὐδέποτε δὲ λυπεῖσθαι. Ὀψόμεθα δὲ ταύτας ἐν τῇ προθεωρίᾳ τε καὶ θεωρίᾳ τῆς πόλεως Σιών, καθώς, ἐν τῇ πρὸς εὕρεσιν αὐτῆς ὁδοιπορίᾳ, εἴδομεν τὸ *δυνάμει τίνος*.

## Προθεωρία τῆς πόλεως Σιών.

Ἐν τῇ διανυθείσῃ ὁδοιπορίᾳ καὶ ζητήσει ἀπηντήσαμεν τὸν ἄνθρωπον φεύγοντα ἀπὸ τοῦ *ἀγαθοῦ*, αὐτὸ δὲ τὸ *ἀγαθὸν* καταδιῶκον καὶ ἀνακαλοῦν τὸν ἄνθρωπον πρὸς ἑαυτὸ ἐν πᾶσι τοῖς δυνατοῖς τρόποις. Ἐν ἄλλαις λέξεσιν, ἡ πεῖρα δείκνυσιν ἡμῖν τὸν ἄνθρωπον εὐθὺς ἐξ ἀρχῆς κείμενον ἐν τῷ κακῷ, καὶ ὅτι χορηγοῦνται αὐτῷ πάντα τὰ ἐπιτήδεια μέσα πρὸς ἀπαλλαγήν. Ἀλλ' ἡ πεῖρα αὕτη δεῖται ἐξηγήσεως. Ἔστι νόμος τῆς διανοητικῆς ἡμῶν



φύσεως, ἀφοῦ πρῶτον μάθωμεν, ὅ, τι ἐςι, διὰ τῆς ἀντιληπτικῆς ἡμῶν δυνάμεως, ζητεῖν ἑπομένως διὰ τῆς λογικῆς τὸ διατί ἐςι· καὶ οὐκ ἔχει ἀνάπαυσιν τὸ ἡμέτερον πνεῦμα, ἕως ἂν εὕρῃ τοὺς ἀποχρῶντας λόγους τοῦ εἶναι τῶν ὄντων τε καὶ φαινομένων. Ἡ ἀξίωσις αὕτη τοῦ ἡμετέρου πνεύματος ἕξει τὸ ἱκανόν, ἐπὰν δηλώσωμεν τὴν *βουλὴν Κυρίου τὴν μένουσαν εἰς τὸν αἰῶνα*, τήν τε φύσιν τῆς πόλεως Σιών, καὶ ᾧ τρόπῳ ἐγείρεται καὶ οἰκοδομεῖται· ἀλλὰ πρῶτον δείξωμεν, εἰ ἐπιγινώσκεται ἡ θεία βουλή, καὶ εἰ δυνάμεθα λέγειν, ὅτι λαλοῦμεν ἐν ὀνόματι Κυρίου.

Ὡς ἐγώ, οὕτω καὶ πάντες οἱ ἐμοὶ ὅμοιοι, ἐγκατακεκρυμμένοι εἰσὶν ἔν τινι ὀργανικῷ σώματι, καὶ διαγινώσκομεν ἀλλήλους ἔκ τε τοῦ προφορικοῦ λόγου, ἔπειτα δὲ καὶ γραπτοῦ, ἔκ τε τῶν ἐνεργειῶν, ἃς περαίνομεν διὰ τοῦ ὑποτεταγμένου ἡμῖν σώματος. Ἀκούων τινὸς λαλοῦντος εἰς γλῶσσάν μοι καταληπτὴν διαγινώσκω τί βουλεύεται ἐν τοῖς μυχοῖς τῆς βαθείας καρδίας, διαγινώσκω αὐτῆς τὸν χαρακτῆρα καὶ καθ' ἃς διάκειται διαθέσεις· ἀλλ' ὁρῶν καί τινα σιωπηλῶς περαίνοντα ἐνεργείας τινὰς αὐτὰ ταῦτα μαντεύομαι, δυσκολώτερον ὅμως. Οὐδένα λόγον βούλομαι ποιῆσαι ἐνταῦθα τῶν παρεκτροπῶν καὶ τῶν παρεννοήσεων. Βεβαιῶ μόνον τὸ καθολικὸν τοῦτο γινόμενον, εἰ ἔςι τις συνεννόησις καὶ συνεπίγνωσις μεταξὺ τῶν μὴ βλεπόντων ἀλλήλους ἀνθρώπων κατὰ τὸν ἔσω ἄνθρωπον, ἀδύνατον αὕτη γενέσθαι ἄλλως, ἢ διὰ λόγου προφορικοῦ ἢ γραπτοῦ, καὶ τῶν ἐνεργειῶν τοῦ σώματος. Ὁ αὐτὸς δὲ λόγος τῆς συνεννοήσεως καὶ συνεπιγνώσεως, ὃς ὑπάρχει μεταξὺ ἀνθρώπου καὶ ἀνθρώπου, ὑπάρχει καὶ μεταξὺ ἀνθρώπου καὶ Θεοῦ. Τουτέστι, καθὼς συνεννοοῦμαι καὶ ἐπιγινώσκω τὸν ὅμοιόν μοι ἄνθρωπον διὰ φωνῆς

καὶ ἐνεργείας, οὕτω διὰ τῶν αὐτῶν μέσων δύναμαι συν-
εννοεῖσθαι μετὰ τοῦ Θεοῦ καὶ ἐπιγινώσκειν αὐτόν. Καὶ
ὁ Θεός, καθὼς ἡ ψυχὴ τοῦ πλησίον, ἐςι μοι ἀόρα-
τος ὑπὸ τὸν διωργανισμένον τοῦτον ὑλικὸν κόσμον,
γνωστὸς δὲ μόνον δι᾽ ὧν περαίνει ἐνεργειῶν ἐν τῇ φύσει,
καὶ ἐξόχως διὰ λόγου προφορικοῦ ἢ γραπτοῦ. « Οἱ οὐ-
» ρανοί γάρ, ὡς φησιν ὁ Προφητάναξ, διηγοῦνται δόξαν
» Θεοῦ, ποίησιν δὲ χειρῶν αὐτοῦ ἀναγγέλλει τὸ στε-
» ρέωμα ». « Καί, ὡς ὁ θεῖος Παῦλος, Τὰ ἀόρατα αὐ-
» τοῦ ἀπὸ κτίσεως κόσμου τοῖς ποιήμασι νοούμενα καθο-
» ρᾶται, ἥ τε ἀΐδιος αὐτοῦ δύναμις καὶ θειότης ». Καὶ πά-
λιν ἀλλαχοῦ. « Καίτοι οὐκ ἀμάρτυρον ἑαυτὸν ἀφῆκεν
» ἀγαθοποιῶν, οὐρανόθεν ἡμῖν ὑετοὺς διδοὺς καὶ καιροὺς
» καρποφόρους ». « Πολυμερῶς δὲ καὶ πολυτρόπως, φη-
» σὶν ὁ αὐτός, πάλαι ὁ Θεὸς λαλήσας τοῖς πατράσιν ἐν
» τοῖς προφήταις, ἐπ᾽ ἐσχάτων τῶν ἡμερῶν τούτων ἐλά-
» λησεν ἡμῖν ἐν Υἱῷ ». Καὶ ἐν βίβλῳ Ἰησοῦ Ναυῆ γέ-
γραπται « Καὶ οὐκ ἀποστήσεται ἡ βίβλος αὕτη τοῦ νό-
» μου μου ἐκ τοῦ στόματός σου, καὶ μελετήσεις ἐν αὐτῷ
» ἡμέρας καὶ νυκτός, ἵνα συνῇς ποιεῖν πάντα τὰ γεγραμ-
» μένα ἐν αὐτῷ, τότε εὐοδωθήσῃ καὶ εὐοδώσεις τὰς
» ὁδούς σου, καὶ τότε συνήσεις ». Σφόδρα δὲ ἐφίεται ὁ
Θεὸς συνεννοεῖσθαι μετὰ τοῦ ἀνθρώπου καὶ ἐπιγινώσκε-
σθαι ὑπὸ τοῦ ἀνθρώπου, καὶ τὴν ἔφεσιν ταύτην πολλα-
χῶς πολλαχοῦ τῆς Γραφῆς δεδήλωκε. Μεμφόμενος
γὰρ τὸν Ἰσραὴλ διὰ τοῦ προφήτου Ἡσαΐου λέγει « Ἔγνω
» βοῦς τὸν κτησάμενον καὶ ὄνος τὴν φάτνην τοῦ Κυ-
» ρίου αὐτοῦ, Ἰσραὴλ δέ με οὐκ ἔγνω, καὶ ὁ λαός μου
» οὐ συνῆκε ». Καὶ πάλιν « Οὐαὶ οἱ ἐγειρόμενοι τὸ
» πρωῒ καὶ τὰ σίκερα διώκοντες. . . Μετὰ γὰρ κιθάρας
» καὶ ψαλτηρίου καὶ τυμπάνων καὶ αὐλῶν τὸν οἶνον

SISMANOGLIO MEGARO



» πίνουσι, τὰ δὲ ἔργα Κυρίου οὐκ ἐμβλέπουσι, καὶ τὰ
» ἔργα τῶν χειρῶν αὐτοῦ οὐ κατανοοῦσι. Τοίνυν αἰχμά-
» λωτος ὁ λαός μου ἐγενήθη, διὰ τὸ μὴ εἰδέναι αὐτοὺς
» τὸν Κύριον ». Καὶ πάλιν « Προσέχετε, λαός μου, τῷ
» νόμῳ μου, κλίνατε τὸ οὖς ὑμῶν εἰς τὰ ῥήματα τοῦ
» στόματός μου ». Καί « Ἐν τούτῳ καυχάσθω ὁ καυ-
» χώμενος, ἐν τῷ συνιεῖν καὶ γινώσκειν τὸν Κύριον καὶ
» ποιεῖν κρίμα καὶ δικαιοσύνην ἐν μέσῳ τῆς γῆς. Καί
« θέλει πάντας σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλ-
» θεῖν ». Διὸ καὶ ἐν τῇ ἐπιγνώσει τοῦ Θεοῦ ὁρίζεται ἡ δι-
καίωσις καὶ ἡ ζωὴ τοῦ ἀνθρώπου, ὡς γέγραπται « Τὸ
» γὰρ ἐπίστασθαί σε ὁλόκληρος δικαιοσύνη, καὶ τὸ εἰδέναι
» τὸ κράτος σου ῥίζα ἀθανασίας. » « Αὕτη δέ ἐςιν ἡ αἰώ-
» νιος ζωή, ἵνα γινώσκωσί σε τὸν μόνον ἀληθινὸν Θεόν,
» καὶ ὃν ἀπέστειλας Ἰησοῦν Χριστόν ». « Ἐὰν ὑμεῖς, εἶ-
» πεν ὁ Κύριος, μείνητε ἐν τῷ λόγῳ τῷ ἐμῷ, ἀληθῶς
» μαθηταί μού ἐςε, καὶ γνώσεσθε τὴν ἀλήθειαν, καὶ ἡ
» ἀλήθεια ἐλευθερώσει ὑμᾶς. Ἠπείληται δὲ ὅτι ἀπο-
καλύπτεται ὀργὴ Θεοῦ ἀπ᾽ οὐρανοῦ οὐ μό-
νον ἐπὶ πᾶσαν ἀσέβειαν καὶ ἀδικίαν ἀνθρώ-
πων τῶν τὴν ἀλήθειαν ἐν ἀδικίᾳ κατεχόν-
των, ἀλλὰ καὶ ἐπὶ τοῖς μὴ εἰδόσι Θεόν, οὓς
καταφάγεται πυρὸς ζῆλος, ὥςπερ ἄχρηστον
καλάμην. Διὸ καὶ Παῦλος νουθετεῖ λέγων « Δεῖ περισ-
» σοτέρως προσέχειν τοῖς ἀκουσθεῖσι, μήποτε παραῤῥυῶ-
» μεν ». Καί τισι τῶν Κορινθίων ὀνειδίζει τὴν τοῦ Θεοῦ
ἄγνοιαν ὡς μεγίστην αὐτοῖς ἐντροπήν, καὶ ὁ κόσμος ὀ-
νειδίζεται ἐπὶ τῇ τοῦ Θεοῦ ἀγνοίᾳ ὡς πάλιν γέγραπται
» Καὶ ὁ κόσμος σε οὐκ ἔγνω, ἐγὼ δέ σε ἔγνων ». Καὶ
πάλιν· « Καὶ ὁ κόσμος δι᾽ αὐτοῦ ἐγένετο, καὶ ὁ κόσμος
» αὐτὸν οὐκ ἔγνω ». Οὕτω σφόδρα ἐφίεται ὁ Θεὸς συνεν-

νοεῖσθαι μετὰ τοῦ ἀνθρώπου καὶ ἐπιγινώσκεσθαι ὑπὸ τοῦ ἀνθρώπου! Ἀλλὰ καὶ ἐγὼ φύσει τοῦ εἰδέναι ὀρέγομαι, καὶ ἀκορέστως ἐφίεμαι τῆς ἐπιγνώσεως τῆς ἀληθείας. Κρατῶν δὲ ἀνὰ χεῖρας τὸν γραπτὸν τοῦ Θεοῦ λόγον, καὶ ὀφθαλμοὺς ἔχων τοῦ ὁρᾷν τὰ ἐν τῇ φύσει γινόμενα, ποῖον ἔσται κώλυμα τοῦ μὴ συνεννοεῖσθαί με μετὰ τοῦ Θεοῦ, καὶ ἐπιγνῶναι αὐτόν τε καὶ τὴν βουλὴν αὐτοῦ τὴν μένουσαν εἰς τὸν αἰῶνα; Ἴσως τὸ ἀσθενὲς τοῦ νοὸς καὶ τὸ φιλαμαρτῆμον τῆς προαιρέσεως. Ἀλλὰ δυνατὸς ὁ Θεός, Ἐλεήμων ὁ Θεός. Συμμαχήσας οὖν τῷ Θεῷ τῷ νεύματι μόνῳ τῆς ἐμῆς βουλήσεως, ἡ ἐμὴ ἀσθένεια καὶ αἱ ζοφώδεις μου ἁμαρτίαι ἐπικρατήσουσιν ἄρα τῆς δυνάμεως καὶ τῆς ἀγαθότητος αὐτοῦ; ἄπαγε! Ἐὰν λαλήσω τῷ Θεῷ ἐν τούτοις τοῖς ῥήμασι· Κύριε, Κύριε, ἁμαρτωλὸς ἐγὼ ὑπὲρ πάντας ἀνθρώπους καὶ τῇ καρδίᾳ ἀκάθαρτος. Ἀλλ' οἰκτίρμων καὶ ἐλεήμων Σὺ ἀφαιρῶν ἀνομίας καὶ ἁμαρτίας ἐν τῷ ὀνόματι τοῦ ἀγαπητοῦ Υἱοῦ σου Κυρίου μου Ἰησοῦ Χριστοῦ, ὃς ἐγένετο ὑπὲρ ἐμοῦ κατάρα. Ὅθεν ῥαντιεῖς με ὑσσώπῳ καὶ καθαρισθήσομαι, πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι. Ἀσθενὴς ὁ ἐμὸς νοῦς μόλις τὰ ἐν χερσὶν εἰκάζων, καὶ μὴ δυνάμενος γνῶναι καὶ συμβιβάσαι νοῦν Κυρίου. Ἀλλὰ Κύριε, Σὺ διανοίγεις τὸν νοῦν τοῦ συνιέναι τὰς γραφάς, Σὺ ἔχεις Πνεῦμα ἀληθείας ὅπερ ἐκχέεις ἐν τῷ ὀνόματι τοῦ ἀγαπητοῦ εἰς τὰς καρδίας τῶν πιστευόντων, καὶ ὁδηγεῖ αὐτοὺς εἰς πᾶσαν τὴν ἀλήθειαν. Ἐξαπόστειλον οὖν καὶ τῷ παιδί σου τὸ φῶς σου κα[ὶ]

SISMANOGLIO MEGARO



τὴν ἀλήθειάν σου, ἵνα μὲ ὁδηγήσωσι καὶ ἄξωσιν εἰς τὸ ὄρος τὸ ἅγιόν σου καὶ εἰς τὰ σκηνώματά σου. Κωφεύσει ἄρα καὶ οὐκ ἐπακούσει; Ἀφίσταμαι τοῦ ἀσυνέτου τούτου λογισμοῦ, οὐδὲ χώραν ἔχει ἐν τῇ διανοίᾳ μου, τοῦ λόγου κελεύοντος, « Αἰτεῖτε, καὶ » δοθήσεται ὑμῖν, ζητεῖτε, καὶ εὑρήσετε, κρούετε καὶ ἀνοι» γήσεται ὑμῖν . . . . Ἢ τίς ἐστιν ἐξ ὑμῶν ἄνθρωπος, ὃν » ἐὰν αἰτήσῃ ὁ υἱὸς αὐτοῦ ἄρτον, μὴ λίθον ἐπιδώσῃ αὐτῷ; » ἢ, ἐὰν ἰχθὺν αἰτήσῃ, μὴ ὄφιν ἐπιδώσῃ αὐτῷ; Εἰ οὖν » ὑμεῖς πονηροὶ ὄντες οἴδατε δόματα ἀγαθὰ διδόναι » τοῖς τέκνοις ὑμῶν· πόσῳ μᾶλλον ὁ Πατὴρ ὑμῶν ὁ » οὐράνιος δώσει πνεῦμα ἅγιον τοῖς αἰτοῦσιν αὐτόν »;

Ἰδοὺ τοίνυν τὸ πανεπιστήμιον ἐν ᾧ μεμαθήτευκα, ἰδοὺ ὁ διδάσκαλος, οὗ τινος τυγχάνω μαθητής, ἰδοὺ ἡ μέθοδος τῆς διδασκαλίας. Εἰ δὲ καλῶς πεπεράτωκα τὰς ἐμὰς σπουδάς, καὶ εἰ γέγονα ἱκανὸς ἄλλοις τε ἡγεμονεύειν καὶ διδάσκειν, τὸ ῥῆμα τὸ ἐκπορευόμενον ἐκ τοῦ ἐμοῦ στόματος μαρτυρεῖ, καὶ ὁ βίος ὁ εὐαγγελικός, καθ' ὃν ἐγὼ πολιτεύομαι, ὅτι ἐν μόνοις τούτοις διαγινώσκεται πᾶς ἄνθρωπος. Ἀλλὰ καὶ αὐτὸς ὁ Κύριος ἐν καιρῷ τῷ προσήκοντι μαρτυρήσει περὶ ἐμοῦ ὅτι γέγραπται « Γίνεσθέ μοι » μάρτυρες, καὶ ἐγὼ μάρτυς, λέγει Κύριος ὁ Θεός » Καὶ ἐγὼ αὐτὸν ὡμολόγησα ἔμπροσθεν τῶν ἀνθρώπων, μὴ ἐπαισχυνόμενος αὐτοῦ τοὺς λόγους ἐνώπιον γενεᾶς μοιχαλίδος καὶ ἁμαρτωλῆς.

Νῦν οὖν, ἀναγνῶστα, ὅστις ποτ' ἂν ᾖς, ὑπ' ἀσφαλεῖ ὁδηγῷ ἔρχου καὶ ἴδε τὴν βουλὴν Κυρίου τὴν μένουσαν εἰς τὸν αἰῶνα, ὅπως καὶ σὺ γένῃ αἰώνιος, τὴν αὐτὴν ἀσπασάμενος βουλὴν καὶ συμμορφωθεὶς πρὸς αὐτήν. Ἔρχου καὶ ἴδε τὴν πόλιν Σιών, περὶ ἧς δεδοξασμένα ἐλαλήθη, ἵνα πολιτογραφῇς ἐν αὐτῇ, καὶ μακά-

ριος γένῃ ἐν πολιτείᾳ καὶ πόλει, ἧς τεχνίτης καὶ δη-
μιουργὸς ὁ Θεός, ὅτι γέγραπται « Κύριος διασκεδάζει βου-
» λὰς ἐθνῶν, ἀθετεῖ δὲ λογισμοὺς λαῶν, καὶ ἀθετεῖ βου-
» λὰς ἀρχόντων· ἡ δὲ βουλὴ τοῦ Κυρίου εἰς τὸν αἰῶνα
» μένει, λογισμοὶ τῆς καρδίας αὐτοῦ εἰς γενεὰν καὶ γε-
» νεάν ». « Καί, Μακάριον τὸ ἔθνος, οὗ ἐστι Κύριος ὁ Θεὸς
» αὐτοῦ, λαός, ὃν ἐξελέξατο εἰς περιουσίαν ἑαυτῷ ».

Εἷς ὁ Θεός, μίαν βουλὴν ἀπ' αἰῶνος βεβούλευται, τὴν παραγωγὴν καὶ δημιουργίαν πάντων τῶν κτισμάτων ὁρατῶν τε καὶ ἀοράτων, καὶ τὴν ὑποταγὴν πάντων τῷ Υἱῷ αὐτοῦ καὶ Λόγῳ, δι' οὗ τὰ πάντα πεποίηκε. Ἐν ἄλλαις λέξεσιν, οὐδὲν ἄλλο βούλεται ὁ Πατήρ, ἢ πᾶν δημιούργημα εἶναι καὶ ἐνεργεῖν, καθ' οὓς ὅρους καὶ νόμους τίθησιν ἡ ὑπερτάτη αὐτοῦ Σοφία, ἣν ἔχει καὶ αὐτὸς νόμον ἐνεργείας.

» Πάντα δι' αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο
» οὐδὲ ἓν ὃ γέγονεν, βροντοφωνεῖ ὁ υἱὸς τῆς βροντῆς, ὁ
» Θεολόγος Ἰωάννης. Οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπη-
» τὸς ἐν ᾧ ηὐδόκησα, αὐτοῦ ἀκούετε, ἀνήγγειλεν οὐρανό-
» θεν ὁ Πατὴρ εἰς πᾶσαν τὴν κτίσιν ». Καί, « πάντα ὑπέ-
» ταξεν ὑποκάτω τῶν ποδῶν αὐτοῦ, καὶ ἐν τῷ ὑποτάξαι
» αὐτῷ τὰ πάντα, ἐπιλέγει τὸ σκεῦος τῆς ἐκλογῆς, οὐ-
» δὲν ἀφῆκεν αὐτῷ ἀνυπότακτον ». Δύνασαι ἤδη νοεῖν τὴν δημιουργίαν ὡς παραγωγὴν καὶ συνύπαρξιν ὄντων πολλῶν ἐνδεῶν διαφόρου φύσεως, συνηρμολογημένων ἐν σταθμῷ καὶ μέτρῳ καὶ ἀναλογίᾳ, πληρουμένων ἐν τῷ ἐν αὐταρκει ἀγαθῷ, καὶ ἓν ὅλον ἐναρμόνιον ἀπαρτιζόντων. Ἕκαστον ἐνδεὲς δεόμενόν τινος ἔχει καὶ προσὸν δι' οὗ ἐπαρκεῖ τῇ χρείᾳ ἑτέρου, καὶ τοῦτο ἐξηγεῖ τὴν συνάφειαν καὶ συναρμογὴν τῶν πολλῶν εἰς ἕν, καὶ τὴν ἰδέαν τοῦ σχετικοῦ ἀγαθοῦ. Ἕκαστον ἐνδεὲς θεωρεῖ ὡς ἑαυτοῦ ἀγαθὸν τὸ πληροῦν ἀμέσως τὴν ἑαυτοῦ χρείαν, καὶ ἀσπάζεται καὶ φιλεῖ αὐτό. Ἀλλ' ἡ ἄλυσις χρήζει κλειδός. Ἀνάγκη πᾶσα, ἐν τῇ σειρᾷ τῶν πληρούντων καὶ πληρουμένων, εἶναι ἓν αὔταρκες, πληροῦν μέν, μὴ πληρούμενον δέ. Τοῦτο δέ ἐστι τὸ ἀπόλυτον ἀγαθόν. Τὰ πολλὰ ἐνδεῆ ἐν τῷ ἑνὶ αὐτάρκει ἀγαθῷ, ἓν ὅλον αὔταρκες ἀποτελοῦσι· διότι ἕκαστον ἐνδεὲς πληροῦν τὴν ἑαυτοῦ ἔνδειαν, αὔταρκες ἀποτελεῖται. Ἄφελε τὸ ἓν ἀγαθὸν ἐκ τῶν πολλῶν ἐνδεῶν, καὶ πᾶσα ἡ ἄλυσις διαλύεται καὶ καταστρέφεται. Τὸ γὰρ ἐνδεὲς μὴ τυγχάνον τοῦ πληροῦντος τὴν ἑαυτοῦ ἔνδειαν δαπανᾶται, καὶ καθίσταται ἀνίκανον πληρῶσαι τὴν ἔνδειαν ἑτέρου. Ὥστε, ἂν τὸ ἐν τῇ ἀνωτάτῳ βαθμίδι τῆς κλίμακος ἐνδεὲς μὴ πληρωθῇ ὑπὸ τοῦ ἀγαθοῦ, τοῦτο ἔσεται ἀνίκανον τοῦ πληρῶσαι τὸ ὑπ' αὐτῷ, καὶ οὕτω καθεξῆς, ὥστε χωρὶς τοῦ ἑνὸς τὰ πολλὰ διαλύονται, καὶ καταστρέφεται τὸ ὅλον ἔργον. Ὁρᾷς οὖν, ὅτι ἡ συνθήκη τῆς ὑπάρξεως καὶ συνυπάρξεως τῶν δημιουργημάτων ἐστὶ τὸ ἀγαθόν, ἤγουν ὁ μονογενὴς Υἱὸς καὶ Λόγος, δι' ὃ καὶ γέγραπται, οὐχὶ μόνον ὅτι τὰ πάντα δι' αὐτοῦ ἐγένετο, ἀλλ' ὅτι καὶ τὰ πάντα ἐν αὐτῷ συνέστηκε. Διὰ τοῦτο καὶ καλεῖται λίθος ἐκλεκτός, ἔντιμος, ἀκρογωνιαῖος, θεμέλιον τοῦ σύμπαντος. Ὅθεν βλέπεις τὴν ἀνάγκην τοῦ εἶναι αὐτῷ τὰ πάντα ὑποτεταγμένα, καὶ ὅτι σωτηρία δημιουργήματος οὐκ ἔστιν ἄλλο, ἢ ὑποταγὴ αὐτοῦ εἰς τὸ ἀγαθόν, ἀπώλεια δὲ καὶ θάνατος δημιουργήματος, ἀποστασία καὶ ἔκπτωσις αὐτοῦ ἀπὸ τοῦ ἀγαθοῦ. Νόησον ἔτι, ὅτι ἕκαστον ἐνδεές, καθ' ἣν ἔλαχε τάξιν ἐν τῷ ὅλῳ ἔργῳ, ἔχει ὅρον τινὰ καὶ νόμον ἐνεργείας, ὃν ὀφείλει τελεῖν, πρός τε τὴν τοῦ ὅλου ἐναρμόνιον διεξαγωγήν, πρός τε τὴν ἰδίαν μακαριότητα· καὶ ὅτι μερίς τις ἐλευθέρων δημιουργημάτων οὐ βούλεται ἐνεργῆσαι κατὰ



SISMANOGLIO MEGARO

τὸν ὅρον καὶ τὸν νόμον τοῦ συγκρατοῦντος τὰ πάντα *ἀγαθοῦ*. Συμβήσεται μὲν ταραχή τις καὶ κλονισμὸς ἐν τῇ λοιπῇ δημιουργίᾳ, ἀλλ' οὐδεὶς κίνδυνος· ὅτι δύναται τὸ *ἀγαθὸν* πληρῶσαι τὸ ἔργον τοῦ ἀποστατήσαντος δημιουργήματος. Τότε τὸ μὲν ὅλον ἔργον, καίτοι ὑφιστάμενον, ἔσται ἐλλειπὲς ἐν μέρει, τὸ δὲ ἀποστατῆσαν δημιούργημα ἐνδεές, ὅλως ἐστερημένον τοῦ πληροῦντος *ἀγαθοῦ*, τειρόμενον καὶ θλιβόμενον καὶ ὀδυνώμενον ἐν τῇ ἐνδείᾳ. Τοιοῦτον ὂν καλεῖται κακόν, καὶ πᾶσα αὐτοῦ ἐνέργεια κακία καὶ ἁμαρτία. Τοιαύτης φύσεως ἀποστασία ἔλαβε χώραν ἐν τῷ πνευματικῷ κόσμῳ τῶν ἀγγελικῶν φύσεων, τοῦ πρώτου τῶν Ἀρχαγγέλων μετὰ τοῦ ὑπ' αὐτὸν τάγματος ἀρνηθέντος τὴν εἰς τὸν Λόγον τοῦ Θεοῦ ὑποταγήν. Οὗτος ἐκπεσὼν ἐκλήθη Σατανᾶς, ἤτοι ἀντικείμενος τῇ θείᾳ βουλῇ, καὶ διάβολος ἐξ ἄλλης ἐνεργείας· οἱ δὲ ὑπ' αὐτὸν ἄγγελοι ἐκλήθησαν δαίμονες πονηροί. Ἱκανὰ ταῦτα, νομίζω, ὅπως ἐξηγήσωσι τὴν πρώτην γένεσιν τοῦ κακοῦ· περαιτέρω δοθήσεται πάλιν ἀφορμὴ εἰπεῖν περὶ αὐτοῦ τὰ δέοντα. Νῦν δὲ λογισώμεθα ἐκεῖνο, ὅτι ἡ ἔκπτωσις μερίδος τινὸς τῶν δημιουργημάτων, καθιστῶσα ἐλλειπὲς τὸ ὅλον ἔργον, ἔσται ἀφορμὴ τῷ Δημιουργῷ ἑτέρας δημιουργίας, ἵνα γένηται ἀντικατάστασις τῶν πεπτωκότων, καὶ συμπλήρωσις τοῦ ὅλου ἔργου. Ἴδιον δὲ τῆς θείας Σοφίας ἔσται, οὕτω καλῶς συμπληρῶσαι τὸ ἔργον, ὥστε μὴ λαβεῖν χώραν τὸ κακὸν καὶ δεύτερον. Καὶ διακριτέον ἐν τῇ δημιουργίᾳ τρεῖς οὐσιώδεις χαρακτῆρας. *Τὴν παραγωγὴν τῶν ὄντων ἐν χρόνῳ καὶ κατὰ διαδοχὴν γινομένην, τὴν ἔκπτωσίν τινων καὶ ἀντικατάστασιν, καὶ τὴν αἰωνίαν στάσιν*, ὅτε οὐχ ἕξει χώραν οὔτε κακὸν οὔτε χρόνος. Ἡμεῖς δὲ τυγχάνοντες εἰς τὴν δευτέραν κα-

SISMANOGLIO MEGARO



τηγορίαν, καὶ ἀναμένοντες τὴν τρίτην, χρήζομεν ἐπιγινώσκειν τὸν νόμον καὶ τὸν τρόπον, καθ' ὃν ὁ Θεὸς ἐργάζεται πρὸς συμπλήρωσιν τοῦ ἑαυτοῦ ἔργου, ἵνα μὴ ἐξ ἀγνοίας ἀντικείμενοι αὐτῷ ἀποδοκιμασθῶμεν, καθάπερ ὑπὸ τοῦ τεχνίτου ἡ ἄχρηστος ὕλη.

Νόησόν μοι ἤδη τὸν Θεὸν ὡς σοφὸν ἀρχιτέκτονα διανοηθέντα οἰκοδομῆσαι πόλιν ἄμωμον καὶ τελείαν, βουλόμενον κατοικίσαι ἐν αὐτῇ πολίτας ἀμώμους καὶ τελείους πολιτευομένους κατὰ νόμους τελείους, καὶ ὑπ' αὐτοῦ μόνου ἀμώμου καὶ τελείου βασιλευομένους. Αὕτη ἐστὶν ἡ πόλις Σιών, ἐν ᾗ στήσει τὸν ἑαυτοῦ θρόνον ὁ βασιλεὺς τῶν βασιλευόντων καὶ Κύριος τῶν κυριευόντων, δορυφορούμενος ὑπὸ πασῶν τῶν ἐπουρανίων δυνάμεων. Αὕτη ἐστὶν ἡ πρωτεύουσα τοῦ θείου κράτους, εἰς ἣν ὑποτάξει πάντα. Ταύτης οἱ πολῖταί εἰσι θεοὶ τοῦ μόνου Θεοῦ καὶ βασιλέως ἑαυτῶν διαφέροντες, ὅσῳ διαφέρει τέκνον πατρός. Διὸ καὶ γέγραπται *Θεὸς θεῶν, καὶ Κύριος κυρίων*· ἀλλ' ἕτερον τὸ νοεῖν, καὶ ἕτερον τὸ ποιεῖν. Ὅσα ὁ Θεὸς νενόηκεν, ἀπ' αἰῶνος νενόηκε, καὶ πάντα ἐν τῷ θείῳ νῷ εἰσιν ἀπηρτισμένα καὶ τέλεια. Τὸ δὲ ποιεῖν οὐκ ἔστιν ἄλλο, ἢ τῶν διανενοημένων ὑπόστασις, ὡς διανενόηται ὑποστῆναι, ἐν χρόνῳ καὶ κατὰ βαθμὸν γινομένη, καὶ οὐ παύσεται ὁ Θεὸς ἐργαζόμενος, ἕως ἂν ὑποστῶσι πάντα, ὅσα διανενόηται καὶ ἠθέλησε· διὰ τοῦτο καὶ ὁ Κύριος ἔλεγεν· «ὁ Πατήρ μου ἕως ἄρτι ἐργάζεται, κἀγὼ ἐργάζομαι». Νοήσαντες οὕτω τὴν πόλιν Σιών, ὡς ἔστι δυνατὸν νοῆσαι, τελείαν ἐν τῷ θείῳ νοΐ, δεῦρο ἴδωμεν τοὺς ὅρους καὶ τοὺς νόμους τῆς ἐνεργείας, καθ' οὓς αὕτη ἕξει τὴν ἐξωτερικὴν ὑπόστασιν.

Νόησόν μοι αὖθις οἰκίαν ὅσον οἷόν τε πολυτελεστάτην, κενὴν ὅμως τῶν ἀξίων αὐτῇ κοσμημάτων· ἡ οἰκία αὕτη

ἐστὶν ἡ πόλις Σιὼν ἐν οὐρανοῖς ὑφισταμένη ἤδη· τὰ δὲ ἄξια κοσμήματα, οἱ Ἰσόθεοι πολῖται, ὧν ὁ ἀριθμὸς οὐκέτι ἀπηρτίσθη. « Ἐν τῇ οἰκίᾳ τοῦ Πατρός μου, εἶπεν ὁ » Κύριος, μοναὶ πολλαί εἰσιν ». Ὑπαινίττεται τοίνυν ὁ λόγος, ὅτι ὁ Πατὴρ ἔχων οἰκίαν πολυτελεστάτην ἀξίαν ἑαυτοῦ, ἐργάζεται πρὸς κατασκευὴν ἀξίων αὐτῆς κοσμημάτων. Τίνι δὲ τρόπῳ ἐργάζεται ; Ὃν τρόπον ἐργάζεται σοφὸς μηχανουργὸς κατεργαζόμενος ἐν χωνευτηρίῳ τὸν χρυσὸν καὶ τὸν ἄργυρον διὰ πυρὸς καὶ βασάνου. Ὁ τοιοῦτος μηχανουργός, ἐπειδὰν στήσῃ τὸ μηχανουργεῖον, καὶ εἰσαγάγῃ ἐν αὐτῷ ἄνθρακας καὶ χειροτέχνας τοὺς προσήκοντας, τοὺς μὲν πῦρ ἀνάπτειν, τοὺς δὲ σφυρηλατεῖν, τοὺς δὲ ἄλλο τι χρειῶδες ποιοῦντας, λαβὼν ἀκατέργαστον χρυσόν, ἢ ἄργυρον, ἢ ἕτερόν τι τῶν μετάλλων, κατασκευάζει, κατὰ τοὺς ὅρους τῆς τέχνης, ποικίλα κοσμήματα, δαιδάλεα, θαῦμα ἰδέσθαι. Συνετῶς τοίνυν νόει ἐν τῇ εἰκόνι ταύτῃ, ὅτι ὁ χρυσὸς καὶ ὁ ἄργυρος ἀκατέργαστα εἰσάγεται ἐν τῷ μηχανουργείῳ, ἵνα ἐκεῖθεν ἐξέλθῃ κατειργασμένα κοσμήματα πλουσίας οἰκίας, καὶ ἔτι νόησον, ὅτι τὰ κοσμήματα τῆς οἰκίας οὐ κατεργάζονται ἐν αὐτῇ ταύτῃ τῇ οἰκίᾳ. Νῦν οὖν τὸν φαινόμενον τοῦτον ὑλικὸν κόσμον νόησον ἀντὶ μηχανουργείου· χρυσὸν δὲ καὶ ἄργυρον τὸν ἐν αὐτῷ εἰσερχόμενον ἀκατέργαστον ἄνθρωπον· ἄνθρακας δέ, τῆς σαρκὸς τὰ πάθη· ἀνθρακεῖς δὲ καὶ πυράπτας καὶ σφυρηλάτας, τὸν Διάβολον, τοὺς Δαίμονας, καὶ τὸ σπέρμα αὐτοῦ, ὅτι αὕτη αὐτῶν ἡ μερὶς ἐν τῷ μηχανουργείῳ. Νόησον δὲ καὶ τὰς παντοίας τοῦ βίου περιπετείας ἀντὶ χωνευτηρίου. Οὕτως ἐξ ἀναλογίας νοήσας καὶ τὰ λοιπὰ πάντα, καὶ ἐπὶ πᾶσι διευθυντὴν τὸν Θεόν, γνοίης ἂν δι' εἰκόνος τόν τε προορισμὸν καὶ τὴν φύσιν τοῦ παρόντος κόσμου, τὴν αἰτίαν τῆς ἐν

SISMANOGLIO



αὐτῷ ἐνεργείας τοῦ Διαβόλου, καὶ τῶν ἐν αὐτῷ φαινομένων κακῶν· γνοίης δὲ καὶ τὸ γεγραμμένον, ὡς *χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς*. Ὁ ἄνθρωπος προωρίσθη ἐν τῇ τελείᾳ Σοφίᾳ τοῦ Θεοῦ πολίτης τέλειος τελείας πολιτείας βασιλευομένης ὑπ' αὐτοῦ τοῦ Θεοῦ, ἐλεύθερος μέν, ἀλλὰ μὴ δυνάμενος ἁμαρτάνειν. Καὶ ὅπως ἀντέχηται ἀμεταπτώτως τοῦ *ἀγαθοῦ*, ἔδει πρῶτον λαβεῖν πεῖραν τοῦ κακοῦ. Ἔδει πρῶτον εὑρεθῆναι *πιστὸς ἐν ἐλαχίστῳ*, ὅπως κατασταθῇ ἐπὶ πολλῶν ἔπειτα, λόγῳ δικαιοσύνης καὶ ἀξιομισθίας. Ἔδει πρῶτον ἀγωνισθῆναι, ὅπως στεφανηφόρος εἰσέλθῃ εἰς τὴν χαρὰν τοῦ Κυρίου· ὅτι ὡς γέγραπται, *Ἐάν τις μὴ νομίμως ἀθλήσῃ, οὐ στεφανοῦται*.

Ἀκατεργάστου τοίνυν εἰσερχομένου τοῦ ἀνθρώπου ἐν τῷ μηχανουργείῳ, ἵνα κατεργασθῇ, ἀνάγκη γινώσκειν τὸν ἐν τῇ θείᾳ διανοίᾳ τύπον, πρὸς ὃν ἀφορῶν ὁ ἀριστοτέχνης ἐπεργάζεται αὐτόν, καὶ ὑπείκειν αὐτῷ, ὥσπερ εὔπλαστος πηλὸς ἐν ταῖς χερσὶ τοῦ κεραμέως. Καὶ συνθήκη αὕτη ἀπαραίτητος καὶ νόμος τῆς τοῦ Θεοῦ ἐπὶ τὸν ἄνθρωπον ἐνεργείας, ἵνα ἐπιγινώσκῃ καὶ ὁ ἄνθρωπος τὸν τύπον, καθ' ὃν μορφοῦται, καὶ τὸν τρόπον δι' οὗ, ἵνα μή, ὑπ' ἀγνοίας ἀνθιστάμενος, ἢ γογγύζων σφυρηλατούμενος, ἀποδοκιμασθῇ. Ἐν ἄλλαις λέξεσιν, ἵνα ὁ ἄνθρωπος ἐπιτύχῃ τοῦ ὑψηλοῦ αὐτοῦ προορισμοῦ, ἀνάγκη πρῶτον ἐννοῆσαι αὐτόν, εἶτα ἕπεσθαι τῷ Θεῷ ἄγοντι πρὸς αὐτόν. Καὶ καθὼς λιθοξόος ἀποδοκιμάζει τὸν ἀνεπιτήδειον εἰς κατασκευὴν ἀγάλματος λίθον, οὕτω καὶ ὁ Θεὸς ἀποδοκιμάζει τὸν μὴ βουλόμενον γνῶναι τὸν ἑαυτοῦ προορισμόν, ἢ ἀσπασίως μὴ δεχόμενον τὸν τρόπον τῆς κατεργασίας. Τίς λοιπὸν ὁ ἐν τῷ θείῳ νῷ προορισμὸς τοῦ ἀνθρώπου;

Τοῦτον δεδήλωκεν, ὅτε ἔμελλεν αὐτὸν ὑποστῆσαι, εἰπών· Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν, καὶ ἀρχέτωσαν τῶν ἰχθύων τῆς θαλάσσης καὶ τῶν πετεινῶν τοῦ οὐρανοῦ, καὶ τῶν κτηνῶν, καὶ πάσης τῆς γῆς, καὶ πάντων τῶν ἑρπετῶν τῶν ἑρπόντων ἐπὶ τῆς γῆς. Πῶς νοεῖ ὁ Θεὸς τὸ κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν; Νοῦς τέλειος ὁ Θεὸς διανοούμενος ἐν Λόγῳ τελείῳ, καὶ τὸ διανόημα πραγματοποιῶν ἐν ἰσχύϊ παντοδυνάμου Πνεύματος. Εἶπεν ὁ Θεός, Γενηθήτωσαν φωστῆρες, καὶ ἐποίησεν ὁ Θεὸς τοὺς φωστῆρας. Τὸ εἶπεν ὁ Θεός, ὑπεμφαίνει τὴν μεταξὺ Πατρὸς καὶ Υἱοῦ ἀπαρτισθεῖσαν ἀπόφασιν· καὶ τὸ ἐποίησεν ὁ Θεός, τὴν ἄμεσον πραγματοποίησιν ὑπὸ τοῦ ἁγίου Πνεύματος, ὅπερ ἐρευνᾷ τὰ βάθη τοῦ Θεοῦ καὶ οἶδε πάντα. Ἢ καὶ ἄλλως εἰπεῖν. Ὁ Πατὴρ βουλεύεται, ὁ Υἱὸς ἅμα ἀντιλαμβάνεται τοῦ βουλήματος, τὸ δὲ Πνεῦμα τὸ ἅγιον ἅμα παρέχει τὸ εἶναι καὶ τὴν ὑπόστασιν. Νοεῖ ἄρα παραγωγὴν νοήμονος ὄντος διανοουμένου ἐν τῷ αὐτῷ Λόγῳ, καὶ ἐνεργοῦντος ἐν τῷ αὐτῷ Πνεύματι, καὶ οὕτως εἰς φιλίαν καὶ ἀγάπην μετ' αὐτοῦ διαμένοντος. Καὶ ὅτι τοῦτο νοεῖ, δηλοῦσι μὲν τὰ πολλαχοῦ τῆς γραφῆς γεγραμμένα, οἷον Χωρὶς ἐμοῦ (τοῦ Λόγου) οὐ δύνασθε ποιεῖν οὐδέν. Ἐγὼ ἐν ὑμῖν, καὶ ὑμεῖς ἐν Ἐμοί. Ὅσοι Πνεύματι Θεοῦ ἄγονται, οὗτοί εἰσιν υἱοὶ Θεοῦ. Οὐ γὰρ ὑμεῖς ἐςε οἱ λαλοῦντες, ἀλλὰ τὸ Πνεῦμα τοῦ Θεοῦ τὸ λαλοῦν ἐν ὑμῖν. Τότε Παῦλος πλησθεὶς Πνεύματος ἁγίου εἶπεν· δι' ὧν χωρίων δηλοῦται, ὅτι οὐκ ἐπιτρέπεται τῷ ἀνθρώπῳ διανοεῖσθαι χωρὶς τοῦ θείου Λόγου, καὶ ὅτι ἐνεργῶν ἐνερ-

SISMANOGLIO MEGARO



γεῖ τῇ δυνάμει τοῦ ἁγίου Πνεύματος. Ἐξόχως ὅμως βεβαιοῖ τὸ λεγόμενον ἡ ὑψίστη ἐντολή· Ἀγαπήσεις Κύριον τὸν Θεόν σου ἐξ ὅλης τῆς καρδίας σου, καὶ ἐξ ὅλης τῆς διανοίας σου, καὶ ἐξ ὅλης τῆς ψυχῆς σου, καὶ ἐξ ὅλης τῆς δυνάμεώς σου. Συνετῶς τοίνυν νόει, ὅτι κατὰ τὸν νόμον τοῦτον ἀγαπᾷ ὁ Θεὸς τὸν ἄνθρωπον, παρ' οὗ ἀπαιτεῖ τὴν τοιαύτην ἀγάπην, καὶ ὅρα τὴν ἑρμηνείαν τῆς ἐντολῆς ἐν τῷ ἀποκεκαλυμμένῳ θησαυρῷ. Ἐνταῦθα δὲ λέγομεν, ὅτι ἀγαπῶν ὁ Θεὸς τὸν ἄνθρωπον ἐξ ὅλης τῆς ἑαυτοῦ καρδίας πάντα τὰ ἑαυτοῦ δωρεῖται τῷ ἀνθρώπῳ, καὶ οὐδὲν ἔχει ἑπομένως ὁ Θεός, ὃ οὐκ ἔστι καὶ τοῦ ἀνθρώπου. Ὁ Λόγος ἄρα καὶ τὸ Πνεῦμα, τὸ γέννημα καὶ τὸ πρόβλημα τοῦ Πατρός, αὐτός τε ὁ Πατὴρ τοῦ ἀνθρώπου εἰσίν, ὡς γέγραπται· Ὁ ἀγαπῶν με ἀγαπηθήσεται ὑπὸ τοῦ Πατρός μου, κἀγὼ ἀγαπήσω αὐτόν, καὶ πρὸς αὐτὸν ἐλευσόμεθα καὶ μονὴν παρ' αὐτῷ ποιήσομεν. Νόησόν μοι ἤδη τὸν Θεὸν τελείαν θέλησιν συνοδευομένην ὑπὸ τελείας σοφίας καὶ ὑπὸ τελείας δυνάμεως. Νοεῖ ἄρα ὑποστῆσαι ὅμοιον ὄν, ἔχον θέλησιν ἀνεξάρτητον συνοδευομένην ὑπὸ τῆς αὐτῆς θείας σοφίας καὶ δυνάμεως· ὡς εἰ ἔλεγε· Δημιουργῶ ὄν, ᾧ δωροῦμαι τὸν Λόγον μου καὶ τὸ Πνεῦμά μου κατ' οὐδὲν ἐμοῦ ἔλαττον. Παράγω ὄν ἐλεύθερον, ὅπερ ἕξει νόμον ἐνεργείας αὐτὸν ἐκεῖνον τὸν Λόγον, ὃν ἔχω καὶ ἐγώ· Διὰ τοῦτο καὶ γέγραπται ὅτι ὁ Χριστὸς ἐςὶ Σοφία Θεοῦ προορισθεῖσα πρὸ τῶν αἰώνων εἰς δόξαν ἡμῶν. Καὶ ὅτι μεθ' ἡμῶν ὁ Θεός, καὶ ἡ Σοφία τοῦ Θεοῦ ἐν ἡμῖν, διὰ τοῦτο καὶ ἄρχειν ἐπετράπημεν τῆς κτίσεως, καὶ διέπειν τὸν κόσμον ἐν ὁσιότητι καὶ δικαιοσύνῃ. Αὕτη ἡ

περὶ τὸν ἄνθρωπον βουλὴ τοῦ Κυρίου, ἡ ἀγαθὴ καὶ εὐάρεστος καὶ τελεία, ἧς μείζων καὶ κρείττων οὐκ ἔστιν. Αὕτη ἡ βουλὴ ἔκφρασίς ἐστι τελείας ἀγαθότητος, ἐν ᾗ ὡς εἰς κάτοπτρον θεωρῶ, ὅτι ἀγαθὸς Κύριος, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Κύριέ μου, Κύριε, κατὰ τὸ ὕψος σου ὕψωσάς με, κατὰ τὴν Σοφίαν σου ἐσόφισάς με, καὶ κατὰ τὴν δόξαν σου ἐδόξασάς με! Καὶ τί τῶν σῶν οὐκ ἔστιν ἐμόν; Παραβάλλων τὴν εἰκόνα πρὸς τὸ πρωτότυπον, οὐδεμίαν διαφορὰν εὑρεῖν δύναμαι. Ὁρῶ ἐναργῶς μαθηματικὴν ἰσότητα. ὡς 3=3, οὕτως πρωτότυπον, εἰκών, ἴσα. Θεός, ἄνθρωπος, Ἴσα. Καὶ καθὼς γεωμέτρης ἀγεωμέτρητον παραλαβὼν ἐπιστήμῃ καὶ διδασκαλίᾳ ποιεῖ ὅμοιον γεωμέτρην, καὶ ἀριθμητικὸς ἀριθμητικόν, καὶ γραμματικὸς γραμματικόν, καὶ ἀρχιτέκτων ἀρχιτέκτονα, καὶ μουσικὸς μουσικόν, καὶ ζωγράφος ζωγράφον, καὶ μηχανικὸς μηχανικόν· οὕτω, Κύριέ μου, Κύριε, φύσει Θεὸς ὤν, ἐπιστήμῃ καὶ διδασκαλίᾳ ποιεῖς Θεούς. Καὶ πρὸς ταῖς πολλαῖς ἀποδείξεσι, δι' ὧν ἐπεχείρησαν οἱ σοφοὶ πιστοποιῆσαι τοῖς ἐν σκότει καὶ σκιᾷ θανάτου καθημένοις, ὅτι ἐστὶ Θεός, ἐγὼ προστίθημι ταύτην. Ἔστι Θεός, ὅτι ἐπιστήμη καὶ διδασκαλία ποιεῖ Θεούς. Καὶ εἰ μὴ ὁ Θεὸς ἐποίει θεούς, οὐκ ἦν δυνατὸν γνωσθῆναι ὅτι ἐστὶ Θεός. Καθὼς γὰρ οὐ δύναμαι κρῖναί τινα, εἰ ἐστι γεωμετρικός, ἐὰν μὴ ὦ κἀγὼ γεωμέτρης, ἐπίσης ἀδυνατῶ κρῖναι τὸν Θεὸν ὡς Θεόν, ἤγουν νοῆσαι αὐτόν, ἐὰν μὴ πρῶτον γένωμαι θεός· καὶ τὸ ἐντελλόμενον, γνῶθι τὸν Θεόν, ἰσοδυναμεῖ πρὸς τὸ ἕτερον ἐντελλόμενον, γενοῦ θεός. Ἐάν τις ἤδη μὲ ἐρωτήσῃ· πῶς, καὶ διατί πιστεύεις, ὅτι ἔστι Θεός; ἀποκριθήσομαι. Ἐπειδὴ ἐγὼ γέγονα ὑπ' αὐτοῦ θεός, μὴ ὢν πρότερον, ἐπιστήμῃ καὶ διδασκαλίᾳ, διὰ τοῦτο, καθὼς οὐ δύναμαι

SISMANOGLIO MEGARO



ἀρνήσασθαι ἐμαυτόν, οὕτως ἀδυνατῶ ἀρνήσασθαι καὶ τὸν ὄντα Θεόν. Καὶ καθὼς ὁ ἀμφιβάλλων περί τινος, εἰ ἐστι γεωμέτρης, καὶ ζητῶν πληροφορίαν, ἕτερός τις παραστάς, ἐὰν εἴπῃ, μάλιστα ἐγὼ ἀγεωμέτρητος ὤν, παρ' ἐκείνου τὴν γεωμετρίαν μεμάθηκα, οὐ ζητήσει, καὶ οὐ δυνήσεται εὑρεῖν μείζονα ταύτης μαρτυρίαν· οὕτω καὶ ὁ ἀμφιβάλλων, εἰ ἔστι Θεός, καὶ μὴ δυνάμενος ἀφ' ἑαυτοῦ γνῶναι, οὐ δυνήσεται εὑρεῖν πειστικωτέραν ταύτης μαρτυρίαν. Προορισμὸν τοίνυν ἔχων ὁ ἄνθρωπος γενέσθαι θεὸς χρόνῳ καὶ κατὰ βαθμόν, ἐπιστήμῃ καὶ διδασκαλίᾳ, δημιουργηθείς, ὤφειλεν ἔχειν προσόντα μαθητοῦ ἀνάλογα τῷ ὑψίστῳ προορισμῷ. Ὤφειλεν ἔχειν, ἔνθεν μὲν τὴν ἔφεσιν τῆς θεώσεως, ἔνθεν δὲ δύναμιν γνωστικὴν μανθάνουσαν διὰ διδασκαλίας πάντα χρήματα, ἔνθεν δὲ ὑπακοὴν ἄκραν τῷ ἑαυτοῦ διδασκάλῳ. Καὶ ὅτι ταῦτα εἶχεν, οὐδεὶς ἂν ἀρνήσαιτο, πάντων ἀνθρώπων μαρτυρούντων. Ἕκαστος ἄνθρωπος, εἴδομεν ἐν τοῖς πρόσθεν, ἐφίεται αἰωνίως ζῆν, πάντα εἰδέναι, καὶ νομίμως ἐνεργεῖν. Αἱ τρεῖς αὗται ἐφέσεις εἰς μίαν ἔφεσιν ἀθροίζονται τὴν τῆς θεώσεως. Ὁ ἄνθρωπος, πληρώσας τὰς τρεῖς ταύτας ἐφέσεις, γέγονε θεός. Ἔτι εἴδομεν, ὅτι ἕκαστος ἄνθρωπος ἔχει δύναμιν γνωστικήν, καὶ ἐκ πείρας γινώσκομεν, ὅτι αὕτη μανθάνει πάντα χρήματα λόγῳ καὶ διδασκαλίᾳ, καὶ ὅτι οὐδεὶς δύναται μεταλαβεῖν τῶν τοῦ διδασκάλου γνώσεων ἄνευ τῆς εἰς αὐτὸν ὑπακοῆς. Ὁ ἄνθρωπος ἄρα ἐδημιουργήθη τέλειος μαθητὴς δυνάμενος γενέσθαι τέλειος θεός, Θεοῦ μὲν διδάσκοντος, αὐτοῦ δὲ πειθομένου. Ὁ Θεὸς ἄρα κατεσκεύασε τὸν ἄνθρωπον ταμεῖον, ὅπως ἐν αὐτῷ καταθέσῃ τὴν αἰώνιον αὐτοῦ ἀλήθειαν χρόνῳ καὶ κατὰ βαθμόν. Ὁ Θεός, ἐν τῇ ἑαυτοῦ μεγαλοδωρίᾳ τε καὶ μεγαλοπρεπείᾳ, δεδώρηκε τῷ ἀνθρώπῳ τὸν Λό-

γον τὸν ἀγαθόν, ὃν ἐξηρεύξατο ἡ ἑαυτοῦ καρδία, τὸ μόνον ἀντικείμενον τῆς μόνης αὐτοῦ ἀγάπης. Ὁ δὲ ἄνθρωπος ὤφειλεν ἐλθεῖν εἰς ἐπίγνωσιν τῆς θείας δωρεᾶς, γενέσθαι φύλαξ ἀγαθὸς τοῦ θησαυροῦ κατέχων αὐτὸν εἰς τὸν αἰῶνα· καὶ οὐ μόνον ὤφειλεν ἐπιγινώσκειν τὴν θείαν Σοφίαν, ἀλλὰ καὶ ἐνεργεῖν ἑκουσίως καὶ ἐλευθέρως κατὰ τοὺς ὅρους καὶ τοὺς νόμους αὐτῆς, συνειδώς, ὅτι τοῦτο ἑαυτῷ ἀγαθὸν καὶ ἄριστον. Ἀλλὰ πρὸς τοῦτο συνετέλει καὶ ἡ ἐνέργεια τοῦ κακοῦ. Διότι πάντες, ὅσοι τε διδάσκουσι, ὅσοι τε μανθάνουσι, γινώσκουσι πόσον τὰ ἐναντία συμβάλλεται εἰς τὴν γνῶσιν τῶν ἐναντίων. Τοιαύτης τοίνυν οὔσης τῆς προθέσεως τοῦ Θεοῦ περὶ τὸν ἄνθρωπον, τοῦ δὲ ἀνθρώπου λαβόντος ἀνάλογα τῇ θείᾳ προθέσει προσόντα, καὶ ἄκραν ὑπακοὴν τῷ Κυρίῳ ὀφείλοντος, ὅπως γένηται ἱκανὸς λαβεῖν τὴν τελείαν δωρεάν, τὸ ἄκρον ἀγαθόν, πρὸς τοῦτο δὲ καὶ τῆς τοῦ κακοῦ ἐπηρείας συμβαλλομένης, ἴδωμεν ἱστορικῶς ὡς συνέβη αὐτὰ τὰ πράγματα.

« Καὶ ἔλαβε Κύριος ὁ Θεὸς τὸν ἄνθρωπον, ὃν ἔπλασεν, » καὶ ἔθετο αὐτὸν ἐν τῷ Παραδείσῳ τῆς τρυφῆς ἐργάζεσθαι » αὐτὸν καὶ φυλάσσειν ». Καὶ ἐνετείλατο Κύριος ὁ Θεὸς τῷ Ἀδὰμ λέγων· « Ἀπὸ παντὸς ξύλου τοῦ ἐν τῷ Παρα» δείσῳ βρώσει φαγῇ· ἀπὸ δὲ τοῦ ξύλου τοῦ γινώσκειν » καλὸν καὶ πονηρὸν οὐ φάγεσθε ἀπ' αὐτοῦ· ᾗ δ' ἂν ἡμέρᾳ » φάγητε ἀπ' αὐτοῦ θανάτῳ ἀποθανεῖσθε ».

Οὗτοι οἱ ὅροι ἐν οἷς ἡ Σοφία τοῦ Θεοῦ τέθεικε τὸν ἄνθρωπον, καὶ ἐν οἷς ὤφειλεν ἐμμένειν μήτε αὐτογνωμόνως καὶ αὐθαιρέτως ἐκβαίνων, μήτε ἄλλοθέν ποθεν παραπειθόμενος. Καὶ ἡ μὲν ἐργασία τοῦ Παραδείσου ὑπαινίττεται νόμους ἐνεργείας, ἐν οἷς ἠσκεῖτο τὸ πρῶτον ὁ ἄνθρωπος. Τὸ δὲ φυλάσσειν, τὴν τούτων διατήρησιν. Ἡ δὲ ἀποχὴ τοῦ ξύλου τοῦ γινώσκειν καλὸν καὶ πονηρὸν ἦν τὸ δοκίμιον

SISMANOGLIO MEGARO



τῆς ὑπακοῆς καὶ ἡ ἀφορμὴ τῆς τοῦ κακοῦ ἐπηρείας, οὗτινος τὴν φύσιν καὶ αὖθις δι' ὀλίγων ἐξηγούμεθα.

Τὸ κακὸν κατά τινα πεπλανημένην δόξαν οὐκ ἔστιν ἀρχὴ ἀΐδιος, καθὼς τὸ *ἀγαθόν*. Τὸ κακόν, τρόπος τις ὢν δημιουργήματος, οὐχ ἧττον ἔχει ἀρχὴν χρονικήν, ἢ αὐτὸ τὸ δημιούργημα, καὶ ἀφανισθήσεται ἀπὸ προσώπου τῆς γῆς, ὡς γέγραπται, « Ζητηθήσεται ἡ ἁμαρτία αὐτοῦ καὶ » οὐμὴ εὑρεθῇ ». Τὸ κακὸν οὐκ ἔστιν ἄλλο, ἢ ἀπόπτωσις ἐλευθέρου δημιουργήματος ἐκ τοῦ *ἀγαθοῦ*. Ἡ δὲ κακία καὶ ἁμαρτία ἐστὶν ἐνέργεια ἐναντία τῶν ὅρων τῆς τὰ πάντα διεπούσης θείας Σοφίας· δημιούργημα ἐκπεπτωκὸς τοῦ *ἀγαθοῦ* καὶ μὴ πληρούμενον ὑπ' αὐτοῦ μένει ἐνδεές. Ἡ δὲ ἔνδεια γεννᾷ ἐν αὐτῷ διάθεσιν καλουμένην φθόνον. Δημιούργημα ἐνδεὲς ἕτερον ὁρῶν δημιούργημα ἀπολαῦον τοῦ ἀγαθοῦ φθονεῖ. Ὁ φθόνος κινεῖ εἰς τὸ ἀποστερῆσαι καὶ τὸ ἕτερον δημιούργημα οὗτινος ἀπολαύει ἀγαθοῦ, καὶ οὗτός ἐστιν ὁ νόμος τῆς ἐνεργείας τοῦ κακοῦ. Ὁ Διάβολος λοιπὸν οὐκ ἔστιν ἄλλο, ἢ δημιούργημα ἐλεύθερον ἐκπεπτωκὸς τοῦ *ἀγαθοῦ*, νόμον ἐνεργείας ἔχων τοῦ ἀποσπᾷν τοῦ *ἀγαθοῦ* ἕτερα δημιουργήματα οὐ βίᾳ· ἀλλὰ δόλῳ καὶ πονηρίᾳ. Καὶ τὸ μὲν *ἀγαθὸν* ἕλκει πρὸς ἑαυτὸ τὴν ἐλευθέραν θέλησιν τοῦ ἀνθρώπου διὰ τῆς πειθοῦς καὶ τῆς εὐεργεσίας. Τὸ δὲ κακὸν ἀνθέλκει αὐτὴν δόλῳ καὶ ἀπάτῃ. Οὗ δ' ἂν νεύσῃ ὁ ἀβίαστος ἄνθρωπος, ἐκεῖ καὶ πορεύεται. Τὸ *ἀγαθὸν* ἐν πρώτοις ἕλκει πρὸς ἑαυτὸ τὸν ἄνθρωπον χορηγοῦν αὐτῷ Παράδεισον τρυφῆς, διδάσκον νόμους ἐνεργείας, καὶ ἀπαγορεῦον τῆς βρώσεως καρποῦ τινος ἐπὶ ποινῇ θανάτου. Ἀλλ' ὁ Ὄφις εἶπε τῇ γυναικί, « Οὐ θανάτῳ ἀποθανεῖσθε· ᾔδει » γὰρ ὁ Θεός, ὅτι ᾗ ἂν ἡμέρᾳ φάγητε ἀπ' αὐτοῦ, δια» νοιχθήσονται ὑμῶν οἱ ὀφθαλμοί, καὶ ἔσεσθε ὡς Θεοί,

« γινώσκοντες καλὸν καὶ πονηρόν ». Αὕτη ἡ ἀντενέργεια τοῦ κακοῦ ἐπὶ τὸν ἄνθρωπον πλήρης πονηρίας καὶ δόλου, ὅπως παραπείσῃ αὐτὸν εἰς ἀθέτησιν τῶν ὅρων τῆς Θείας Σοφίας, καὶ ἀποσπάσῃ τοῦ *ἀγαθοῦ*. Ἡ πλάστιγξ ὀφείλει κλῖναι, ὅπου νεύσει πεισθεὶς ὁ ἀβίαστος ἄνθρωπος. Ὡς δὲ γνωστόν, συνεψηφίσατο τῇ πονηρίᾳ, καὶ ἐγένετο ὅμοιος αὐτῇ γυμνός, ἐνδεής, φύλλοις συκῆς ζητῶν θεραπεῦσαι τὴν ἔνδειαν. Ἔλαβεν ἔτι ἕξιν καὶ ῥοπὴν τοῦ ἀθετεῖν τοὺς Θείους νόμους μαρανθεὶς τῷ ἰῷ τοῦ ὄφεως, ὃν ἐξέχεε τῇ ἀκοῇ τῆς Εὔας, δεχθεὶς ἐν ἑαυτῷ ἣν ἐπεσπάσατο ἁμαρτίαν, δεινὸν τύραννον. Πρὶν ἢ γὰρ τὸ πτηνὸν παγιδευθῇ, πέτεται ἐλευθέρως, ὅπου ἂν βούληται· ἐπειδὰν δὲ συλληφθῇ ἐν τῇ παγίδι, ἀπόλλυσι τὴν ἐλευθερίαν τοῦ πέτεσθαι. Βλέπομεν δὲ ἐνταῦθα, ὅτι τὸ *ἀγαθὸν* δέδωκε τῷ ἀνθρώπῳ τὴν ἔφεσιν τῆς θεώσεως, ἵνα πειθομένῳ πληρώσῃ αὐτήν. Τὸ δὲ κακὸν χρῆται τῇ ἐφέσει ταύτῃ οὕτω δολίως, ὥστε στερῆσαι τὸν ἄνθρωπον τῆς πληρώσεως αὐτῆς. Ὁ ἄνθρωπος ἄπειρος πονηρίας πείθεται τῷ πονηρῷ δελεαζόμενος καὶ σπεύδων τὴν πλήρωσιν τῆς ἐπιθυμίας. Ὅθεν διδασκόμεθα ὅτι αἱ ἐπιθυμίαι ἡμῶν εἰσι θεόσδοτοι· ἀλλ' ἐὰν πεισθῶμεν πληρῶσαι αὐτάς, ὡς διδάσκει ὁ Διάβολος, ἐνδεεῖς ἀποβαίνομεν καὶ ἄθλιοι. Ἐὰν δέ, ὡς διδάσκει ὁ θεῖος λόγος, μακάριοι καὶ τρισευδαίμονες. Βλέπομεν ἔτι σαφῶς καὶ τὸν λόγον, δι' ὃν ὁ Διάβολος καλεῖται καὶ Σατανᾶς, ἤτοι ἀντικείμενος, ὡς ἐνεργῶν ἀπ' ἐναντίας καὶ ἀντιθέτως τῷ Θείῳ προορισμῷ. Ἀλλά, « Σοφίας οὐ κατισχύσει ποτὲ κακία, » εἶπεν ὁ Σοφός. Ὁ Θεὸς συνέστησε τὸν κόσμον τοῦτον πρὸς κατασκευὴν θεῶν, καὶ οὐδεὶς δύναται διασκεδάσαι τὴν βουλὴν αὐτοῦ τὴν ὑψηλήν, ἣν πραγματοποιήσει, ὡς προέγνω καὶ προώρισε πραγματοποιηθῆναι, καὶ πρὸς τὸν

SISMANOGLIO MEGARO



σκοπὸν τοῦτον χρήσεται καὶ τῷ κακῷ, ὥςπερ ἀνθρακεῖ, καὶ πυράπτῃ, καὶ σφύρῃ, καὶ τοῖς ὁμοίοις, ἕως ἄν, συμπληρωθέντος τοῦ προεγνωσμένου ἀριθμοῦ, τότε μηχανουργεῖον ἐκλείψῃ καταπεσόν, οἵ τε ἀνθρακεῖς καὶ πυράπται καταπετρωθήσονται ἐν αὐτῷ, καὶ οὐ δυνήσονται ἀναστῆναι ἔτι. Ὁ δὲ ἄνθρωπος ὠφεληθήσεται ἐκ τοῦ κακοῦ ὠφέλειαν ἀκαταλόγιστον. Ὅτι λαβὼν αὐτοῦ πεῖραν ἐν τῷ δε τῷ προσκαίρῳ βίῳ, ἐν τῷ μέλλοντι καὶ αἰωνίῳ ἔσται ἐλεύθερος ἅμα καὶ μὴ δυνάμενος θελῆσαι ἁμαρτάνειν. Καθάπερ καὶ ὁ Θεός ἐστι μὲν ἐλεύθερος, ἀλλ' οὐ δύναται στέργειν τὴν ἁμαρτίαν οὔτε ἑαυτῷ, οὔτε τινὶ ἄλλῳ. Κατὰ τὸ ἀπ' αἰῶνος ἀπόκρυφον καὶ Ἀγγέλοις ἄγνωστον μυστήριον, ἡ θέωσις τοῦ ἀνθρώπου καὶ ἡ ἀπὸ τῆς ἁμαρτίας καὶ τοῦ θανάτου ἐλευθέρωσις αὐτοῦ ἔμελλε γενέσθαι διὰ τῆς ἐνανθρωπήσεως τοῦ Υἱοῦ καὶ λόγου τοῦ Θεοῦ, ἥτις ὤφειλεν ἐπελθεῖν μετὰ τὴν πτῶσιν. Ὁ ἄνθρωπος χρῄζει οὐχὶ μόνον διδασκαλίας διὰ λόγου καὶ φωνῆς, ἀλλὰ καὶ αἰσθητοῦ παραδείγματος· καὶ πάντες γινώσκομεν, ὅτι τὰ παραδείγματα ἐπενεργοῦσι μᾶλλον ἢ αἱ διὰ φωνῆς διδασκαλίαι. Ὁ ἄνθρωπος διδασκόμενος τὴν θέωσιν ὤφειλεν ἔχειν πρὸ ὀφθαλμῶν πειστικώτατον ταύτης παράδειγμα, καὶ τοιοῦτον ἐχορήγησεν αὐτῷ ἡ ἔνσαρκος οἰκονομία. Ἤδη θεοῦμαι μιμητὴς Χριστοῦ γινόμενος, πολιτευόμενος ἐν τῷ δε τῷ βίῳ, ὡς ἐκεῖνος ἐπολιτεύσατο γενόμενος ὑπήκοος μέχρι θανάτου, θανάτου δὲ Σταυροῦ. Ὁ βίος οὗτος γέγραπται, ὅτι ἐστὶ *πειρατήριον ἀνθρώποις*. Ἵνα δὲ μὴ ἐξ ἀπειρίας καταδαπανηθῶ ἐν αὐτῷ, Ὁ Χριστὸς εἰσῆλθε καὶ ἐξῆλθε τοῦ πειρατηρίου, καὶ μοὶ ὑπέγραψε τὴν εἴσοδόν μου καὶ τὴν ἔξοδόν μου, καὶ τὸν τρόπον καθ' ὃν ὀφείλω πορεύεσθαι. Ἤδη βλέπω τὸν ἐμὸν προορισμὸν οὐχὶ ἐν μόνοις τοῖς ῥήμασι, *ποιήσωμεν*

ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ'
ὁμοίωσιν, ἀλλὰ ἐν αὐτῷ τῷ προσώπῳ τοῦ Χριστοῦ ὁ-
ρώμενον καὶ ψηλαφώμενον, ὅτι « Χριστὸς ἀπέθανεν ὑπὲρ
» ἡμῶν ὑμῖν ὑπολιμπάνων ὑπογραμμόν, ἵνα ἐπακολου-
» θήσωμεν τοῖς ἴχνεσιν αὐτοῦ ». Νῦν γινώσκω κατὰ τὴν
Θεολόγου φωνήν, ὅτι γενήσομαι ὡς Χριστός, ἐπεὶ Χριστὸς
ἐγένετο ὡς ἐγώ, τουτέστι, σύμμορφος τῆς εἰκό-
νος αὐτοῦ, καθ' ἑτέραν φωνὴν τοῦ θείου Παύλου. Ἤδη
ὁ ἐν τῷ θείῳ νῷ τύπος, οὗτινος εἰς ἐπίγνωσιν οὐκ ἠδυνά-
μην ἐλθεῖν, σεσάρκωται καὶ δέδεικται πρὸ τῶν ἐμῶν ὀφθαλ-
μῶν, καί, ὡραῖος κάλλει παρὰ πάντας βροτούς, θέλγει
με, καὶ ἕλκει με, καὶ πειθήνιόν με κατὰ πάντα ποιεῖ ἑ-
τοίμως ἔχοντα ἀεὶ ἀπειθεῖν πονηρίᾳ καὶ ὑπὲρ αὐτοῦ ἐμ-
πίπτειν ἀδεῶς καὶ εἰς πῦρ καὶ εἰς θάνατον. « Τίς γὰρ
» ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ; θλίψις,
» ἢ στενοχωρία, ἢ λιμός, ἢ διωγμός, ἢ κίνδυνος; ἕνεκα
» αὐτοῦ, ὡς γέγραπται, θανατούμεθα ὅλην τὴν ἡμέραν
» καὶ λογιζόμεθα ἑαυτοὺς ὡς πρόβατα σφαγῆς. Ὡς
» θαυμάσια τὰ ἔργα σου Κύριε! καὶ ἡ ψυχή μου γινώ-
» σκει σφόδρα »! ὅτι τὰ ἄδηλα καὶ τὰ κρύφια
τῆς Σοφίας σου ἐδήλωσάς μοι.

Στρέψωμεν αὖθις τὸ βλέμμα πρὸς τὸν πεπτωκότα ἄν-
θρωπον, καὶ παρακολουθήσωμεν αὐτὸν ἐκβαλλόμενον τοῦ
Παραδείσου τῆς τρυφῆς.

Ἁγνὸς ἐκ τῶν θείων χειρῶν προελθών, μολυνθεὶς τῷ
ἰῷ τῆς ἁμαρτίας, ἐπάναγκες, ἵνα καθαρθῇ, εἰσελθεῖν εἰς
τὸ χωνευτήριον τοῦ βίου πυρί τε καιόμενος, καὶ σφυρη-
λατούμενος, καὶ τἆλλα πάντα ὁμοίως τῷ ἐν παντοίαις
ὕλαις μεμιγμένῳ χρυσῷ πάσχων· « Τῷ δὲ Ἀδὰμ εἶπεν
ὁ Θεὸς « Ὅτι ἤκουσας τῆς φωνῆς τῆς γυναικός σου, καὶ
» ἔφαγες ἀπὸ τοῦ ξύλου, οὗ ἐνετειλάμην σοι τούτου μό-



» νου μὴ φαγεῖν, ἀπ' αὐτοῦ ἔφαγες, ἐπικατάρατος ἡ γῆ
» ἐν τοῖς ἔργοις σου· ἐν λύπαις φαγῇ αὐτὴν πάσας τὰς
» ἡμέρας τῆς ζωῆς σου· ἀκάνθας καὶ τριβόλους ἀνατε-
» λεῖσοι, καὶ φαγῇ τὸν χόρτον τοῦ ἀγροῦ. Ἐν ἱδρῶτι
» τοῦ προσώπου σου φαγῇ τὸν ἄρτον σου, ἕως τοῦ ἐπι-
» στρέψαι σε εἰς τὴν γῆν, ἐξ ἧς ἐλήφθης, ὅτι γῆ εἶ, καὶ
» εἰς γῆν ἀπελεύσῃ. Καὶ ἐξαπέστειλεν αὐτὸν Κύριος ὁ
» Θεὸς ἐκ τοῦ Παραδείσου τῆς τρυφῆς ἐργάζεσθαι τὴν
» γῆν, ἐξ ἧς ἐλήφθη, καὶ ἐξέβαλε τὸν Ἀδάμ, καὶ κατῴ-
» κισεν αὐτὸν ἀπέναντι τοῦ Παραδείσου τῆς τρυφῆς ».
Ὁ ἄνθρωπος ἐν τῷ Παραδείσῳ μετελάμβανεν ἀπόνως
τῶν ἀγαθῶν τοῦ σώματος, καὶ εἶχεν εὐκαιρίαν τοῦ ἐργά-
ζεσθαι εἰς πλήρωσιν τῶν ἐπιθυμιῶν τῆς ψυχῆς, καὶ ἦν,
οὕτως εἰπεῖν, ἐν ἀναλογίᾳ καὶ ἰσοῤῥοπίᾳ, τῆς ὑλικῆς καὶ
ἀΰλου φύσεως ἑκατέρας μετεχούσης τοῦ ἑαυτῆς ἀγαθοῦ.
Ἀλλ' ἀπέναντι τοῦ Παραδείσου τῆς τρυφῆς ἐτέθη εἰς ση-
μεῖον ἀντίθετον. Ὤφειλε δαπανᾷν τὸν χρόνον καὶ ἐπι-
πόνως ἐργάζεσθαι πρὸς κτῆσιν τῶν ἀγαθῶν τοῦ σώμα-
τος, μὴ δυνάμενος ἀσχολεῖσθαι εἰς πνευματικὰς μελέ-
τας πρὸς θεραπείαν τῶν ψυχικῶν ἐπιθυμιῶν. Ἡ ψυχὴ
κατεδαπανᾶτο θεραπεύουσα τὰς σωματικὰς ἀνάγκας, καὶ
ἥδετο μόνον ἐν τοῖς ἀγαθοῖς τοῦ σώματος, οὐχὶ δὲ καὶ
ἐν τῷ ἑαυτῆς ἀγαθῷ. Καὶ καθὼς δοῦλος αἰχμάλωτος
ἐργάζεται πρὸς ἐπαύξησιν ἀλλοτρίων ἀγαθῶν, ἐν οἷς καὶ
αὐτὸς ἐλαχίστης μερίδος μετέχει· οὕτω καὶ ἡ ψυχὴ δου-
λωθεῖσα τῷ σώματι ἐργάζεται πρὸς κτῆσιν τῶν τούτου
ἀγαθῶν μετέχουσα καὶ αὐτὴ μορίου τινὸς ἡδονῆς ἐκ
τούτων. Οὕτω τοίνυν τοῦ πρωτοπλάστου διατεθέντος διὰ
τὴν παρακοήν, καὶ σαρκικοῦ ἐκ πνευματικοῦ γενομένου,
οἱ ἐξ αὐτοῦ ἀπόγονοι ὤφειλον γεννᾶσθαι ἐκείνῳ ὅμοιοι,
κατὰ τὸν ἐπικρατοῦντα ἐν πάσῃ τῇ φύσει γενικὸν νόμον

τῆς γεννήσεως, καθ' ὃν τὸ ὅμοιον γεννᾷ ἑαυτῷ ὅμοιον, καὶ
ἀδύνατον τὸ γεννώμενον εἶναι φύσεως ἑτέρας τῆς τοῦ
γεννῶντος. Ἰδοὺ ὁ λόγος δι' ὃν πᾶς ἄνθρωπος γεννώμενος
φαίνεται εὐθὺς ἐξ ἀρχῆς πρὸς μὲν τὸ ἀγαθὸν ἔχων νῶ-
τα, ἐστραμμένος δὲ ὅλως ἐν τοῖς ἀγαθοῖς τοῦ σώματος.
Καὶ ἀποχρώντως, οἶμαι, δι' ὧν εἴρηται, ἐξηγήθη ἡ πεῖρα,
ἥτις δείκνυσι τὸν ἄνθρωπον εὐθὺς ἐξ ἀρχῆς ἐν τῷ κακῷ,
καὶ μέσα πρὸς ἀπαλλαγὴν ὑπὸ τοῦ ἀγαθοῦ χορηγού-
μενα. Σὺ δέ, ἀναγνῶστα, θαύμασον τὴν συμφωνίαν τῶν
ἐννοιῶν τοῦ βιβλίου τῆς φύσεως καὶ τῆς ἱερᾶς Γραφῆς.
Μνημονεύεις γὰρ ὅτι, ὅτε ἐζητοῦμεν τὴν ἀρχικὴν τῶν
ἀνθρωπίνων δυστυχημάτων αἰτίαν, ἐθεωρήσαμεν τὴν ψυ-
χὴν ἐστραμμένην εὐθὺς ἐξ ἀρχῆς ἐν τοῖς ἀγαθοῖς τοῦ
σώματος, νῶτα δὲ πρὸς τὸ ὄντως ἀγαθὸν ἔχουσαν.
Νῦν δὲ ἀναγινώσκομεν ἐν τῇ Ἱερᾷ Γραφῇ τὸν πρωτόπλα-
στον οὕτω διατεθεῖναι διὰ τὴν παρακοήν, καὶ πειθόμεθα
ἐκ τοῦ γενικοῦ νόμου τῆς γεννήσεως, ὅτι δεῖ πάντα ἄν-
θρωπον ἐν ὁμοίᾳ τῷ πρωτοπλάστῳ διαθέσει γεννᾶσθαι.
Ἡ φύσις ἄρα καὶ ἡ Γραφὴ ταὐτὰ διδάσκοντα τῆς αὐτῆς
χειρός εἰσιν ἔργα. Ἡ γραφὴ ὑπό τινα ἔποψιν τυγχάνει
ὁ μεθερμηνευτὴς τῆς φύσεως, καὶ οἱ ἐμβλέποντες εἰς ἀμ-
φότερα, ὡς εἰς δύο τῆς αὐτῆς χειρὸς ἔργα, εἰσὶν ἀνεπί-
δεκτοι πλάνης. Καὶ καθὼς ὁ ἀλγεβριστὴς ἔχει βεβαιό-
τητα τῆς εὑρέσεως τοῦ ἀγνώστου, ἀγομένης εἰς ταὐτό-
τητα τῆς ἐξισώσεως· οὕτω καὶ ὁ ὀρεγόμενος τοῦ εἰδέ-
ναι τὴν ζητουμένην ἀλήθειαν βεβαιοῦται περὶ τῆς εὑρέ-
σεως, ἀγομένης εἰς ταὐτότητα τῆς φύσεως καὶ τῆς Γρα-
φῆς, τῶν δύο μελῶν τῆς ἐξισώσεως. Ἐκ δὲ τῆς κατα-
φρονήσεως τοῦ ἑτέρου χάριν τοῦ ἑτέρου, καὶ ἐκ τῆς ἀσυ-
νέτου αὐτῶν παραθέσεως γεννᾶται ἡ τερατώδης πλάνη,
ὁ σάραξ οὗτος τῆς ἀνθρωπότητος, ὁ γεννώμενος ἐν αὐτῇ

SISMANOGLIO MEGARO



καὶ κατατρώγων αὐτήν, ὥςπερ ἔκγονον ἐχίδνης. Πλα-
νᾶσθε μὴ εἰδότες τὰς γραφάς, ἀναφωνεῖ ἡ
ἀλήθεια. Διὸ καὶ ἐπιτάσσει, Ἐρευνᾶτε τὰς Γρα-
φάς. Τὸ γνωστὸν τοῦ Θεοῦ, κηρύττει ὁ μέγας ἐθνο-
διδάσκαλος, φανερόν ἐστιν ἐν αὐτοῖς ὁ γὰρ
Θεὸς αὐτοῖς ἐφανέρωσε, ὅτι τὰ ἀόρατα αὐ-
τοῦ ἀπὸ κτίσεως κόσμου τοῖς ποιήμασι νο-
ούμενα καθορᾶται, ἥτε ἀΐδιος αὐτοῦ δύναμις
καὶ θειότης, εἰς τὸ εἶναι αὐτοὺς ἀναπολο-
γήτους. Καὶ πάλιν ὁ αὐτός, οἵτινες ἐνδείκνυν-
ται τὸ ἔργον τοῦ νόμου γραπτὸν ἐν ταῖς
καρδίαις αὐτῶν. Καὶ ὁ Προφητάναξ. Οἱ οὐρανοὶ
διηγοῦνται δόξαν Θεοῦ, ποίησιν δὲ χειρῶν
αὐτοῦ ἀναγγέλλει τὸ στερέωμα. Ἐκ γὰρ
μεγέθους καὶ καλλονῆς κτισμάτων, γνωμα-
τεύει ἑτέρωθεν ὁ σοφός, ἀναλόγως ὁ γενεσιουρ-
γὸς αὐτῶν θεωρεῖται. Ἕως πότε λοιπὸν ἄφρο-
νες, διαιροῦντες ἀμαθῶς τὴν μίαν ἀλήθειαν, καὶ ἀποκλει-
στικῶς ἕκαστος μέρει τινὶ ἀντεχόμενοι, οὐ παύσομεν νη-
λέϊ θυμῷ τύπτοντες ἀλλήλους; Σύνετε δὴ καὶ παιδεύθητε
πάντες οἱ κατοικοῦντες ἐν τῇ γῇ· γενέσθωσαν ὑμῖν τὰ
παθήματα μαθήματα, καὶ αἱ δυστυχίαι τῶν παρελθουσῶν
γενεῶν ἀφορμὴ φρονήσεως καὶ εὐτυχίας· ζητήσωμεν ἐν
πᾶσι τὸν νόμον τῆς ἀναλογίας καὶ τῆς ἰσοῤῥοπίας, καὶ
μὴ ἐκπίπτωμεν εἰς ἀμετρίαν, ὁτὲ μὲν εἰς ὑπερβολάς, ὁτὲ
δὲ εἰς ἐλλείψεις καταφερόμενοι, οὐδαμοῦ δὲ τὸ ἑδραῖον
καὶ αἰώνιον ἀπαντῶντες; Τί ἐστι δικαιοσύνη, ἡ οὕτω ὑπὸ
τῆς γραφῆς ὑμνουμένη ἀρετή, ἣν ἠγάπησεν ὁ Κύριος,
ἢ αὐτὸς ὁ τὰ πάντα συγκρατῶν καὶ συναρμόζων νόμος
τῆς ἀναλογίας καὶ ἰσοῤῥοπίας; Τί δὲ ἀνομία καὶ ἀδικία,
ἢ ἡ τοῦ νόμου τούτου ἀθέτησις, ἡ διδασκομένη ὑπὸ τοῦ

Σατανᾶ, τοῦ ἀρχαίου τῆς ἀληθείας ἀποστάτου, τοῦ φέροντος τὴν σύγχυσιν, τὴν σύγκρουσιν, καὶ τὴν καταστροφήν, ὅπου ἂν λάβῃ χώραν; Ζηλώσωμεν τὴν φύσιν, ἥτις διοικουμένη ὑπὸ τοῦ νόμου τῆς ἀναλογίας καὶ ἰσοῤῥοπίας χαίρει μᾶλλον ἢ ἡμεῖς τὴν συναρμογήν, τὴν τάξιν καὶ τὴν συντήρησιν, καὶ ζητήσωμεν καὶ ἐφ' ἡμᾶς βασιλεῦσαι τὸν ἐπ' αὐτῆς βασιλεύοντα.

Υἱοὶ ἀνθρώπων, ἕως πότε βαρυκάρδιοι; Ἵνα τί ἀγαπᾶτε ματαιότητα καὶ ζητεῖτε ψεῦδος; Γνῶτε, ὅτι ἐθαυμάστωσε Κύριος τὸν ὅσιον αὐτοῦ, τουτέστι, τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, ὃν προέθετο ἱλαστήριον τῶν ἁμαρτιῶν ὅλου τοῦ κόσμου. Γνῶτε ὅτι αὐτός ἐστι τὸ ἴαμα τῶν ἀνθρωπίνων δυστυχημάτων, καὶ ὅτι οὐκ ἔστιν ἕτερον ὄνομα ὑπὸ τὸν οὐρανόν, ἐν' ᾧ δεῖ ἡμᾶς σωθῆναι. Γνῶτε ὅτι αὐτός ἐστιν ὁ ποιμὴν ὁ καλὸς ὁ δυνάμενος ἐν εἰρήνῃ καὶ εὐδαιμονίᾳ διεξάγειν τὰ ἀνθρώπινα. Γνῶτε ὅτι ὁ ἄνθρωπος χωρὶς Χριστοῦ ἐστι χωρὶς ζωῆς, χωρὶς ἀληθείας, χωρὶς νόμου, περιπατῶν ἐν τῇ σκοτίᾳ, οὐκ εἰδὼς πόθεν ἔρχεται καὶ ποῦ ὑπάγει. Γνῶτε ὅτι αὐτός ἐστιν ἡ σοφία τοῦ Θεοῦ ἡ προορισθεῖσα πρὸ τῶν αἰώνων εἰς δόξαν ἡμῶν, καὶ μὴ ἀπωθῆτε ταύτην δωρεάν. Γνῶτε τὸν πλοῦτον τῆς δόξης τὸν κεκρυμμένον ἡμῖν ἐν τῷ μυστηρίῳ τοῦ Χριστοῦ, καὶ μηκέτι ὦμεν πένητες, μηκέτι ἐνδεεῖς, μηκέτι φθονεροί, μηκέτι ἀλλήλους δάκνοντες καὶ κατεσθίοντες. Καί, ἵνα πεισθῆτε ἀκλονήτως, δεῦτε ἴδετε ἐν τῇ θεωρίᾳ τῆς πόλεως Σιών, ἐπειδὰν ἐπιθεωρήσωμεν τὴν προθεωρίαν, τὴν ἀνθρώπινον κοινωνίαν, ὁποία ἐστὶ χωρὶς Χριστοῦ, καὶ ὁποία μετὰ Χριστοῦ, καὶ δότε δόξαν τῷ Θεῷ τῷ δόντι ἡμῖν τὴν ἀγαθὴν ταύτην δόσιν, τὸ δώρημα τοῦτο τὸ τέλειον, ἀμήν.

Τεθεωρήκαμεν ἤδη ἐν τῇ προθεωρίᾳ ταύτῃ τὴν βουλὴν

SISMANOGLIO MEGARO



Κυρίου τὴν μένουσαν εἰς τὸν αἰῶνα, τὴν πρώτην γέννησιν τοῦ κακοῦ, καὶ ἥτις αὐτοῦ ἡ φύσις· τὴν φύσιν τε καὶ τὸν προορισμὸν τοῦ παρόντος κόσμου, τὸν ὕψιστον προορισμὸν τοῦ θεοφιλοῦς ἀνθρώπου, καὶ πῶς οὗτος πέπτωκεν ἐν τῷ κακῷ, εἰς ὃ ἡ πεῖρα δείκνυσιν αὐτόν. Συνάγεται δέ, ἐξ ὧν εἴρηται, ὅτι πᾶς ὁ ἐφιέμενος τῆς ἑαυτοῦ σωτηρίας ἀνάγκη καθυποβληθῆναι ὑπὸ τὴν συνθήκην τὴν δε· ἔνθεν μὲν λαβεῖν κατὰ διάνοιαν τὸν τύπον τοῦ ὑψηλοῦ αὐτοῦ προορισμοῦ· ἔνθεν δὲ ἀναλαβεῖν τὰ προσόντα τοῦ τελείου μαθητοῦ, τουτέστι, τὴν ἔφεσιν τοῦ αἰωνίως ζῆν, τοῦ πάντα εἰδέναι, καὶ τοῦ νομίμως ἐνεργεῖν, καὶ ὑπακούειν κατὰ πάντα τῷ καθηγητῇ καὶ διδασκάλῳ Χριστῷ, συναπτόμενον αὐτῷ ὑπερκάλῳ ἀγαθῷ ὄντι πίστει τε καὶ ἀγάπῃ τελείᾳ. Μεταβαίνοντες δὲ ἤδη εἰς τὴν θεωρίαν τῆς κλυτῆς πόλεως Σιών, ὀψόμεθα τὰς συνθήκας τῆς σωτηρίας τῶν κοινωνιῶν, ἐν αἷς οὐχ ἧττον περιέχονται νόμῳ λογικῆς καὶ ἐκεῖναι τῆς σωτηρίας τῶν ἀτόμων. Ἐπειδὴ δὲ τὰ ἀντίθετα τοῖς ἀντιθέτοις μᾶλλον νοοῦνται, τότε γὰρ λευκὸν ἀναδείκνυται παρὰ τὸ μέλαν, καὶ παρὰ τὸ σκότος τὸ φῶς· διὰ τοῦτο ἡ θεωρία τῆς Σιὼν γενήσεται κατὰ παράθεσιν πρὸς τὴν ἀντίθετον αὐτῆς Βαβυλῶνα, πόλιν συγχύσεως καὶ διαφθορᾶς, καὶ ταύτην ὀψόμεθα πρὸ ἐκείνης.

## Θεωρία τῆς πόλεως Σιών.

Ὁ ἄνθρωπος μετὰ τὴν πτῶσιν τυγχάνει νεκρὸς μὲν κατὰ τὴν ψυχήν, ζῶν δὲ μόνον ἐν σώματι καὶ διὰ τοῦ σώματος, ἕως ἄν, καὶ τούτου νεκρωθέντος, ἐπιστρέψῃ εἰς τὴν γῆν ἐξ ἧς ἐλήφθη. Ἀλλὰ καὶ ἡ σωματικὴ ζωή, ὡς πάντα, χρήζει τοῦ νόμου τῆς ἀναλογίας καὶ τῆς ἰσοῤῥοπίας. Ἡ ἐργασία τοῦ σώματος ἐπὶ τῆς γῆς, ἡ ἀπόλαυ-

σις τῶν γηΐνων καρπῶν, καὶ ἡ λοιπὴ θεραπεία τῶν ἐπιθυ-
μιῶν, ἀνάγκη πάντα ταῦτα γίνεσθαι ἐν μέτρῳ καὶ ἀνα-
λογίᾳ. Διότι ἄμετρος εἰσαγωγὴ τροφῶν ἐν τῇ κοιλίᾳ,
ἄμετρος πόσις διαφόρων ὑγρῶν, ἄμετρος θεραπεία τῆς
γεννητικῆς ὁρμῆς, ἄμετρος κόπος ἢ ἄμετρος τρυφή, πάν-
τα ταῦτα τὰ ἄμετρα παραλύουσι τὴν ἰσοῤῥοπίαν τῶν μελῶν
τοῦ σώματος, τίκτουσιν ἐσμὸν νόσων καὶ ἀσθενειῶν, καὶ
καταφέρουσι ταχύτερον τὸν ἄνθρωπον ἐπὶ τοῦ τάφου. Ἐ-
πειδὴ δὲ καὶ ἡ φύσις καὶ τὰ γινόμενα ἐν τῇ φύσει διευ-
θύνονται ὑπὸ τοῦ νόμου τούτου, χρείαν ἔχει ὁ ἄνθρωπος
ἐπὶ πᾶσιν, οἷς ἂν ποιῇ, γινώσκειν τὴν ἀναλογίαν, καὶ δυ-
νάμει τοῦ νόμου τούτου καθυποτάσσειν εἰς ἑαυτὸν τὴν
φύσιν. Ἀλλὰ καὶ ὑπὸ κοινωνικὴν ἔποψιν, ἡ γνῶσις καὶ
ἡ τήρησις τοῦ νόμου ἐστὶ τῶν ὧν οὐκ ἄνευ· « ὅσα ἂν
» θέλητε ἵνα ποιῶσιν ὑμῖν οἱ ἄνθρωποι, καὶ ὑμεῖς ποιῆτε
» αὐτοῖς ὁμοίως »· τουτέστιν, ὥςπερ πλησίον πρὸς ἐμέ,
οὕτω καὶ ἐγὼ πρὸς πλησίον. Οὗτός ἐστιν ὁ νόμος καὶ οἱ
προφῆται. Οὕτω τοίνυν ἀναγκαίου ὄντος τοῦ νόμου καὶ
ἐν τῇ σωματικῇ ζωῇ, ἡ ψυχή, ἢ τὸ σῶμα ὑπηρετοῦσα
καὶ διευθύνουσα, οὐ δύναται τηρῆσαι τοῦτον, ἕνεκα ἧς
ἔχει ἀκορέστου ἐπιθυμίας, φύσει ἀπληρώτου ὑπὸ τοῦ
σωματικοῦ ἀγαθοῦ. Ἡ ψυχὴ πληροῦσα τὸ ἑαυτῆς σῶμα
ἐν τοῖς ἀγαθοῖς αὐτοῦ οὐκ ἔχει μέτρον αὐτὴν τὴν χρείαν
τοῦ σώματος, ἀλλὰ τὴν ἀκόρεστον αὐτῆς ἐπιθυμίαν, καὶ
ἀναγκαίως ἐκπίπτει εἰς ἀμετρίαν ἐν παντί. Τ ὸ φ ρ ό ν η-
μ α τ ῆ ς σ α ρ κ ό ς, λέγει ὁ θεῖος Παῦλος, ἔ χ θ ρ α ε ἰ ς
Θ ε ό ν, τ ῷ γ ὰ ρ ν ό μ ῳ τ ο ῦ Θ ε ο ῦ ο ὐ χ ὑ π ο τ ά σ σ ε-
τ α ι, ο ὐ δ ὲ γ ὰ ρ δ ύ ν α τ α ι· τουτέστι, φρονοῦσα ἡ ψυχὴ
πληρωθῆναι καὶ εὐαρεστηθῆναι ἐν τῷ σώματι ἐκπίπτει
πανταχόθεν εἰς ἀμετρίαν, μὴ δυναμένη τηρῆσαι τὸν νό-
μον τοῦ Θεοῦ, ἤτοι τὸν νόμον τῆς ἀναλογίας. Ὁ ἄνθρω-

SISMANOGLIO MEGARO



πος ἄρα καὶ μετὰ τὴν πτῶσιν, ὅπως διανύσῃ καλῶς τὸ
ἐν ὁρίοις στάδιον τῆς σωματικῆς ζωῆς, ἔχρῃζε τοῦ ὁδη-
γοῦντος καὶ διευθύνοντος αὐτὸν κατὰ τὸν νόμον τῆς ἀ-
ναλογίας, καὶ τοιαύτης ὁδηγίας καὶ νουθεσίας οὐκ ἐςέ-
ρησεν ὁ Θεὸς τὸν φίλον αὐτῷ ἄνθρωπον. Μαρτυρεῖ γὰρ
ὁ σοφὸς λέγων « Αὕτη (ἡ Σοφία) πρωτόπλαστον πατέρα
» κόσμου μόνον κτισθέντα διεφύλαξε καὶ ἐφύλαξεν αὐ-
» τὸν ἐκ παραπτώματος ἰδίου· ἔδωκέ τε αὐτῷ ἰσχὺν κρα-
» τῆσαι πάντων ». Δοὺς ὁ Θεὸς ὑπόσχεσιν τῷ ἀνθρώπῳ
τῆς διὰ τοῦ Χριστοῦ ἀπελευθερώσεως καὶ τῆς εἰς τὸν
Παράδεισον ἐπανόδου, παρεμύθει οὕτω τῇ ἐλπίδι τὴν στε-
ρηθεῖσαν τοῦ ἑαυτῆς ἀγαθοῦ ψυχήν, καὶ οὕτως αὕτη οὐκ
ἐδίωκε τὴν ἄκραν εὐδαιμονίαν ἐν τῷ σώματι, καὶ ἦν οὕτως
ἱκανὴ ἐμμένειν ἐν τοῖς ὅροις τῆς ἀναλογίας καὶ τῆς δι-
καιοσύνης, οὓς ἐδιδάσκετο. Τ ὸ ἀ γ α θ ὸ ν ἄρα καὶ μετὰ
τὴν πτῶσιν οὐκ ἐγκατέλιπε τὸν ἄνθρωπον· ἀλλ᾽ ὁ ἄν-
θρωπος ἐπηρεαζόμενος ὑπὸ τοῦ πρωταιτίου τῆς πτώσεως,
ῥέπων ἐν τοῖς πάθεσι τῆς σαρκός, ἠθέτει ἐπὶ μᾶλλον τὰς
σωτηρίους τοῦ ἀγαθοῦ νουθεσίας, ὡς μαρτυρεῖ ὁ αὐτὸς σο-
φός· « Ἀποστὰς δὲ ἀπ᾽ αὐτῆς (τῆς Σοφίας) ἀνὴρ ἄδικος
» ἐν ὀργῇ αὐτοῦ, ἀδελφοκτόνοις συναπώλετο θυμοῖς ».
Προϊδοῦσα δὲ ἡ γραφή, ὅτι τῶν ἀπογόνων τοῦ Ἀδάμ,
οἱ μὲν ἀπειθήσουσι τῷ ἀ γ α θ ῷ πειθόμενοι τῇ πονηρίᾳ,
καὶ βιώσουσιν ἐν ἀλογίᾳ καὶ ἀνομίᾳ, οἱ δὲ ἐμμενοῦσι ἐν
τῇ ὑπακοῇ καὶ βιώσουσιν ἐν δικαιοσύνῃ ἐλπίζοντες τὴν
μακαριότητα ἐν ταῖς διδομέναις ἐπαγγελίαις, καὶ οὐχὶ
ἐν τοῖς ἀγαθοῖς τοῦ σώματος, διέκρινε τὴν ἀνθρωπότητα
εἰς δύο ἀντιθέτους μερίδας, εἰς σπέρμα Χριστοῦ, καὶ εἰς
σπέρμα ὄφεως, καὶ τέθεικεν ἔχθραν καὶ πόλεμον με-
ταξὺ τῶν ἀντιθέτων τούτων μερίδων. Ἐπειδὴ δὲ ὡς ἐπὶ
τὸ πλεῖστον αἱ συστηθεῖσαι κοινωνίαι ἦσαν ἐκ τῆς τοῦ

ὄφεως γονῆς, τὸ δὲ εὐλογημένον σπέρμα ἐτηρεῖτο, δίκην σπινθῆρος, πρὸς μέλλουσαν βλάστησιν, ἤ, ἐπειδὴ ἐν γένει ἡ ἀνθρώπινος κοινωνία συνέστη καὶ ἐβίου χωρὶς Χριστοῦ, θεωρήσωμεν πρῶτον ἐν κεφαλαίῳ τὴν φύσιν αὐτῆς, καὶ ἑρμηνεύσωμεν αὐτήν, εἶτα μεταβαίνομεν καὶ εἰς τὴν θεωρίαν τῆς ἐν Χριστῷ συστηθείσης κοινωνίας.

Ὁ σαρκικὸς ἄνθρωπος, ἄμεσον ἀγαθὸν θεωρῶν τὰ θεραπεύοντα τὸ ἑαυτοῦ σῶμα, διευθύνει πᾶσαν τὴν γνωστικὴν καὶ δραστικὴν ἱκανότητα πρὸς ἀπόκτησιν αὐτῶν· διὰ δὲ τὸ ἀκόρεστον τῆς ἐπιθυμίας ἡ ἀπόκτησις τῶν χρειωδῶν ἐκπίπτει εἰς ἀμετρίαν, καὶ ὅσῳ μᾶλλον ἀποκτᾷ, τοσοῦτον ὀρέγεται τοῦ πλείονος· δύο ἄρα τοιοῦτοι ἐπὶ τὸ αὐτὸ κατοικοῦντες καὶ τοῦ πλείονος ὀρεγόμενοι ἐλεύσονται ἀναγκαίως εἰς μάχην. Ἐπειδὴ δὲ ἡ ἄμοχθος πρόσκτησις τῶν ἀγαθῶν ἐστι συμφερωτέρα τῷ σώματι ἢ ἡ ἐπίμοχθος, ὁ ἰσχυρότερος βιάσει τὸν ἀσθενέστερον δουλεύειν αὐτῷ. Ἡ πρώτη ἄρα συνθήκη τῆς κοινωνίας ἐςὶν ἡ μάχη τοῦ ἀτόμου πρὸς τὸ ἄτομον, μεθ' ἣν θεμελιοῦται καὶ συνίσταται, τοῦ μὲν ἐπικρατήσαντος, τοῦ δὲ ἡττηθέντος· οὕτως ἡ πρώτη κοινωνία θεμελιουμένη ἐπὶ τῷ δικαιώματι τοῦ ἰσχυροτέρου διαιρεῖται εἰς δύο ἀνίσους τάξεις, εἰς πτωχοὺς καὶ εἰς πλουσίους, εἰς δούλους καὶ δεσπότας. Ἐν τοιαύτῃ δὲ κοινωνίᾳ πρώτη μὲν ἀρετὴ θεωρηθήσεται ἡ ἀνδρεία, ἤτοι ἡ σωματικὴ ῥώμη, εὐδαιμονία δὲ ὁ πλοῦτος· ὁ ἔχων τὸ προσὸν τῆς δυνάμεως καὶ τοῦ πλούτου, παραβάλλων ἑαυτὸν πρὸς τὸν ἀσθενῆ καὶ πτωχόν, θεωρήσει ἑαυτὸν κρείττονα, ἔξοχον, καὶ ἄξιον θεραπεύεσθαι ὑπὸ τοῦ ἥττονος· ὀνομάσει ἑαυτὸν εὐγενῆ, διοτρεφῆ, καὶ γενήσεται προνομιοῦχος ἐν τῇ κοινωνίᾳ. Ὁ δὲ ἀσθενὴς καὶ πτωχὸς παραβάλλων ἑαυτὸν πρὸς τὸν ἰσχυρὸν καὶ πλούσιον καὶ διακρίνων ὅτι στερεῖ-

SISMANOGLIO MEGARO



ται προσόντων, ἅτινα ἐκεῖνος ἔχει, διατεθήσεται εἰς φθόνον, καὶ ἐπιβουλεύσει τῷ ὑπερέχοντι. Ἐντεῦθεν τεχθήσεται στάσις καὶ συνωμοσία ἐν τῇ πόλει. Κοινωνία οὐκ ἔστιν ἄλλο ἢ μετοχὴ τοῦ κοινοῦ ἀγαθοῦ. Θέτοντες δὲ βάσιν τῆς κοινωνίας ἀγαθὸν ἀνεπαρκὲς κόπῳ καὶ μόχθῳ κτώμενον, κατ' ἀναπόφευκτον καὶ γεωμετρικὴν ἀνάγκην τὰ μέλη τῆς κοινωνίας πολεμήσουσιν ἀλλήλοις ὑπὲρ τῆς ὅσον οἷόν τε ἀπόνου καὶ ἀφθόνου μεθέξεως αὐτοῦ. Θὲς μεταξὺ δέκα πεινώντων ἄρτον ἕνα ἀνεπαρκῆ τοῖς πᾶσι, καὶ ὄψει αἰσθητῶς τὸ λεγόμενον. Συνέπεια δὲ τοῦ πολέμου ἔςαι εἰρήνη τις δοκοῦσα· τουτέστιν, ὁ ἰσχυρότερος ἐπικρατήσει τοῦ ἀσθενεστέρου, καὶ συνθηκολογήσουσιν ὁ μὲν δεσπόζειν, ὁ δὲ δουλεύειν. Ὁ δεσπόζων διατεθήσεται εἰς ἔπαρσιν, καὶ προνοήσει, ὅπως ἔσονται αὐτῷ οἱ δοῦλοι ἀεὶ δοῦλοι. Ὁ δὲ δουλεύων διατεθήσεται εἰς φθόνον, καὶ προνοήσει ὑπὲρ τῆς μεταβολῆς καὶ τῆς ἀντικαταστάσεως, ἤτοι τίνι τρόπῳ ἀπαλλαγήσεται τῆς δουλείας, καὶ ποιήσει τὸν δεσπότην δοῦλον, γενόμενος αὐτὸς δεσπότης. Ἡ τυραννία ἄρα καὶ ἡ στάσις, ἔκγονα τῆς ἐπάρσεως καὶ τοῦ φθόνου, ὡς ἐκεῖνα πάλιν τῆς δυνάμεως καὶ ἀδυναμίας καὶ τῆς ἀνίσου μετοχῆς τοῦ κοινοῦ ἀγαθοῦ, ἰδοὺ ἡ φύσις τῆς ἐπὶ τῆς ἄμμου οἰκοδομηθείσης ἀρχαίας κοινωνίας, δι' ἧς μόνης ὁ ἱστορικὸς δύναται ἑρμηνεῦσαι καὶ ἐξηγῆσαι πάντα τὰ ἱστορικὰ φαινόμενα. Ἰδοὺ ὁ λόγος δι' ὃν αἱ πρῶται κοινωνίαι ἦσαν βασιλεῖαι καὶ δυναστεῖαι, ἐν αἷς ὁ ἄρχων ὤφειλεν εἶναι ἀμφότερον, βασιλεύς τ' ἀγαθὸς κρατερός τ' αἰχμητής, ἠύς τε μέγας τε· καὶ δι' ὃν ἔπειτα ὑπὸ στάσεων μετεβλήθησαν κατὰ τὴν περίστασιν εἰς ὀλιγαρχίας καὶ δημοκρατίας. Τὰ παθήματα τῆς δυναστείας καὶ τῆς ἀναρχίας ἀναγκάσουσι τοὺς ἀνθρώπους ζητῆσαι τὴν διὰ τῶν νόμων θεραπείαν, ἤτοι τὴν ἴσην καὶ ἀνάλογον διανο-

μὴν τοῦ κοινοῦ ἀγαθοῦ. Καὶ τοῦτό ἐστι τὸ πρῶτον βῆμα τῆς ἐπιστροφῆς τοῦ ἀνθρώπου, ὅθεν ἀπεπλανήθη· ζητοῦνται οἱ Σόλωνες καὶ οἱ Λυκοῦργοι καὶ πᾶς σοφὸς τῇ διανοίᾳ πρὸς σύνταξιν νόμων· τουτέστιν, ὅπως διδάξωσι τοὺς ἀνθρώπους ζῆν ἕκαστον ἐν τοῖς ἑαυτοῦ ὅροις, ἤτοι ἐν ἀναλογίᾳ καὶ δικαιοσύνῃ. Πλεῖστα κακὰ πρὸς ὥραν θεραπεύονται, ἡ κοινωνία ὁπωσοῦν βελτιοῦται, διότι ὁ νοῦς διεδέξατο τὴν δύναμιν. Ἀλλὰ τοῦ κακοῦ ἐρριζωμένου ἐν τοῖς μυχοῖς τῆς ἀνθρωπίνου φύσεως, αἱ περὶ τὰ ἔξω θεραπεῖαι ἔσονται ὀλιγοχρόνιός τις ἀναψυχή, καὶ ἡ ἐπέλευσις ἑτέρων κακῶν ἀναπόφευκτος. Καθὼς πρότερον ὁ ἰσχυρὸς τῇ δυνάμει δουλωσάμενος τὸν ἥττονα μετεῖχε τοῦ ἀγαθοῦ ἀφθονέστερον καὶ ἀπονώτερον· οὕτω καὶ νῦν ὁ νοήμων τὸν ἥττω νοήμονα κατασοφισάμενος χρήσεται τῷ νόμῳ πρὸς τὸ ἑαυτοῦ συμφέρον. Καὶ οὐκ ἄρξει μὲν τῆς πολιτείας εὐρυκρείων Ἀγαμέμνων, ἀλλὰ Περικλῆς ὁ Ξανθίππου, ὃς ἤστραπτεν, ἐβρόντα, ξυνεκύκα τὴν Ἑλλάδα, καὶ οἱ τούτῳ ὅμοιοι. Ἡ δευτέρα αὕτη τῆς κοινωνίας φάσις, ἧττον χείρων ἢ ἡ πρώτη, φέρει καλὰ τοῖς κακοῖς ἀνάμικτα. Ἀναγκάζει τοὺς ἀνθρώπους εἰς τὴν καλλιέργειαν τοῦ πνεύματος, εἰς τὴν σπουδὴν τῶν γραμμάτων, εἰς τὴν ἐκμάθησιν τῶν ἐπιστημῶν, καὶ ἀποκαθίστησιν αὐτοὺς ἡμερωτέρους καὶ ἀνθρωπινωτέρους. Δημιουργεῖ τοὺς εὐγλώττους ῥήτορας, τοὺς ποικιλομήτας πολιτικούς, τοὺς νοήμονας στρατηγούς, τοὺς ἐπιστήμονας ἰατρούς, τοὺς φιλοκάλους καλλιτέχνας, καὶ ἐπὶ πᾶσι τὸν συνετὸν φιλόσοφον. Παράγει τὴν σοφιστείαν, τὴν ἀγυρτείαν, τὴν φιλοχρηματίαν, τὴν ἀπάτην, τὴν συκοφαντίαν, καὶ ἐπὶ τοῖς κακοῖς πᾶσι τὴν τερατώδη πλάνην. Ποῦ δὲ τελευτᾷ καὶ αὕτη; Ἐπειδὴ ἀναπτύσσεται τὸ πνεῦμα ἐπὶ τῇ τῆς σαρκὸς ὠφελείᾳ, τὸ δὲ σῶμα ἐκθηλύνεται τῇ

SISMANOGLIO MEGARO



ἀμέτρῳ πολυτελείᾳ καὶ τρυφῇ, ἐπιλανθάνονται δὲ οἱ ἄνθρωποι θούριδος ἀλκῆς, πεποιθότες ἐπὶ τῇ κοινῇ τάξει, ἐπέρχεται, δίκην ἀγρίων θηρίων, λαὸς ἀρειμάνιος πυρὶ καὶ μαχαίρᾳ καταστρέφων τὴν ἐν αὐτῇ διεφθαρμένην κοινωνίαν, καὶ ἀφ' ἑαυτῆς τὰ λοίσθια πνέουσαν. Ἰδοὺ λοιπὸν σύμπας ὁ νόμος τῆς συστάσεως, τῆς προόδου καὶ τῆς πτώσεως τῶν ἀρχαίων κοινωνιῶν. Θεμελιοῦται ἐπὶ τοῦ δικαιώματος τοῦ ἰσχυροτέρου, βελτιοῦται ὑπὸ τῆς ἀναπτύξεως τοῦ νοός, καὶ καταστρέφει ὑπὸ τῆς τρυφῆς καὶ τῆς πολυτελείας. Ἀλλὰ καὶ ἡ σύμπασα ἀνθρωπότης, ὡς μία κοινωνία θεωρουμένη, διοργανίζεται, προβαίνει, καὶ πίπτει κατὰ τὸν αὐτὸν τοῦτον νόμον. Διότι ὁ νόμος πάντων τῶν εἰδῶν ἔσται καὶ νόμος τοῦ γένους, καθὼς ὁ νόμος πάντων τῶν ἀτόμων ἐστὶν ὁ νόμος τοῦ εἴδους· Κοινωνία τις σωφρονισθεῖσα ἐκ τῶν παθημάτων τῆς τυραννίας καὶ τῆς στάσεως, καὶ διὰ τοῦ νόμου συμπαγεῖσα καὶ ἓν ὅλον ἀπαρτίσασα, καλοῦ εὐμοιρήσασα ἄρχοντος, ὡς μὴ αὐτάρκης οὖσα, θηρεύσει τὴν ἑαυτῆς εὐδαιμονίαν ἐκτὸς ἑαυτῆς. Καί, καθὼς ἡ μάχη τοῦ ἀτόμου πρὸς τὸ ἄτομον ἦν ἀναπόφευκτος συνθήκη ἐν τῇ συστάσει μερικῆς τινος κοινωνίας, οὕτω καὶ πρὸς διοργανισμὸν τῆς καθόλου κοινωνίας, τὸ πρῶτον βῆμα ἔσται ὁ πόλεμος κοινωνίας πρὸς κοινωνίαν· τῆς αὐτῆς ἀρχῆς οὔσης, τὰ αὐτὰ πάντως ἕψονται ἀποτελέσματα. Κοινωνία ὑποδουλώσει κοινωνίαν, ὅπως ἀπόνως πορίζηται ἐξ αὐτῆς φόρους καὶ εἴτι ἕτερον. Κοινωνία ἐπαναστατήσει κατὰ τῆς δυναστευούσης αὐτὴν κοινωνίας, αἱ κακίαι τῶν ἀτόμων ἔσονται καὶ κακίαι τῶν κοινωνιῶν, συμμαχίαι καὶ συνθῆκαι κατὰ τὴν φορὰν τοῦ ἀστάτου συμφέροντος, καὶ οὕτω καταδαπανηθήσεται ἡ *ἀνθρωπότης* ἐν ἀλληλοκτονίαις καὶ μάχαις, ἕως ἂν μία ὑποτάξῃ πάσας, καὶ μοναρχήσῃ

Αὔγουστος ἐπὶ τῆς γῆς. Ὅτε ἡ τρυφὴ καὶ ἡ πολυτέλεια καὶ σύμπας ὁ βέβηλος χορὸς τῶν σαρκικῶν παθῶν διαδεχθέντα τὸν πόλεμον καταναλώσουσι τὴν ἄφρονα ἀνθρωπότητα, ἥτις, ἐπειδὴ οὐκ ἐδοκίμασε τὸν Θεὸν ἔχειν ἐν ἐπιγνώσει, παρεδόθη εἰς ἀδόκιμον νοῦν ποιεῖν τὰ μὴ καθήκοντα.

Πῶς φαίνεται ἤδη ἡ ἐπὶ γῆς οὕτω βιώσασα ἀνθρωπότης; Ἐνδείᾳ κατατρυχομένη, βασκανίᾳ καὶ φθόνῳ κατατηκομένη, ἐπάρσει κρημνιζομένη, συγκεχυμένη καὶ ἐσκοτισμένη, ἀλληλομαχουμένη καὶ ἀλληλοκτονουμένη, εἰς χαμερπῆ σαρκὸς πάθη, δίκην συῶν, ἐξευτελιζομένη, γεγυμνωμένη καὶ καταπεπληγωμένη ἀπὸ κεφαλῆς μέχρι ποδῶν, ἡμιθανὴς τυγχάνουσα, οἰκτρὸν θέαμα ἰδέσθαι. Τίς οὖν ἱκανὸς τοιοῦτον πτῶμα ἐλεῆσαί τε καὶ σῶσαι; Ὁ Κύριός μου καὶ ὁ Θεός μου, ὁ οἰκτίρμων καὶ ἐλεήμων, ὁ μακρόθυμος καὶ πολυέλεος καὶ ἀληθινός, ὁ Θεὸς τοῦ ἐλεεῖν καὶ σώζειν· ὅστις τοιοῦτον κόσμον ἀπειθῆ καὶ ἄνομον, ὑπόδικον τῇ ἀδυσωπήτῳ δικαιοσύνῃ, ἄξιον τοῦ πυρὸς καὶ τῆς γεέννης καὶ τοῦ ἀκοιμήτου σκώληκος, τοιοῦτον κόσμον ἠγάπησε τοσοῦτον, ὥστε τὸν Μονογενῆ δέδωκεν, ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν μὴ ἀπόληται, ἀλλ' ἔχῃ ζωὴν αἰώνιον. Ὢ Ἔλεος! ὢ Χάρις! Νῦν ἐδοξάσθη ὁ υἱὸς τοῦ ἀνθρώπου, καὶ ὁ Θεὸς ἐδοξάσθη ἐν αὐτῷ. Ὢ Δόξα Πατρός! Ὢ δόξα Υἱοῦ! Πάντα τὰ ἔθνη κροτήσατε χεῖρας, ἀλαλάξατε τῷ Θεῷ ἐν φωνῇ ἀγαλλιάσεως, αἰνεῖτε δὲ καὶ οἱ οὐρανοὶ Θεοῦ τὴν δόξαν. Ὢ δόξα Πατρός! Τὸν μόνον αὐτοῦ γόνον, τὸν συναΐδιον Υἱὸν καὶ Λόγον, τὸ μόνον ἀντικείμενον τῆς μόνης αὐτοῦ ἀγάπης, πρὸς ὃν εἶπε, καὶ ἐγεννήθησαν, ἐνετείλατο καὶ ἐκτίσθησαν πάντα τὰ ὁρατά τε σὺν τοῖς ἀοράτοις· τοιοῦτον Υἱὸν

SISMANOGLIO MEGARO



ἀγαπητὸν περιέβαλε σάρκα καὶ ὀστέα γυμνώσας τῆς θείας δόξης καὶ ἐνδύσας τὴν ἀνθρωπίνην πτωχείαν, ὅπως σώσῃ ἄγνωμον δημιούργημα ἐκ γῆς καὶ σποδοῦ, πορευθὲν ἑκουσίᾳ βουλῇ ὀπίσω τοῦ ἀποστάτου Σατανᾶ. Καὶ πῶς; Αὐτὸς αἴρων τὰς ἁμαρτίας πάντων καὶ ὀδυνώμενος ὑπὲρ πάντων. Ὢ τῆς πατρικῆς ἀνοχῆς καὶ ἀνεξικακίας! Ὑπέφερε ἰδεῖν τὸ ἑαυτοῦ φίλτρον, τὸν Λόγον καὶ τὴν ἀναλογίαν ἐπὶ ἀνομίᾳ ὑπὸ ἀνόμων κατακρινόμενον θανάτῳ, ἐμπτυόμενον, μαστιγούμενον, ὑβριζόμενον, ἀτιμαζόμενον, ἐν μέσῳ λῃστῶν κακούργων, ὡς κακοῦργον σταυρούμενον, ὀδύναις ὀδυνώμενον καὶ παραπονούμενον « Θεέ » μου, Θεέ μου, ἱνατί μὲ ἐγκατέλιπες; » Ἐν τούτῳ ἐδοξάσθη ὁ Πατήρ· ἀλλ' ἧττον ἆρά γε τοῦ Πατρὸς ηὐδόκησεν ὁ Υἱὸς ἐπὶ τῇ τοῦ ἀνθρώπου σωτηρίᾳ; Ἐν ποίᾳ προθυμίᾳ διαλέγεται τῷ Πατρὶ περὶ αὐτῆς; Εἰδὼς ὁ παγγνώστης Λόγος τὴν Πατρικὴν εὐδοκίαν λέγει· « Θυσίαν » καὶ προσφορὰν οὐκ ἠθέλησας, σῶμα δὲ κατηρτίσω μοι, » ὁλοκαυτώματα καὶ περὶ ἁμαρτίας οὐκ ἐζήτησας· τότε » εἶπον, Ἰδοὺ ἥκω τοῦ ποιῆσαι τὸ θέλημά σου ὁ Θεός » μου, ἠβουλήθην καὶ τὸν νόμον σου ἐν μέσῳ τῆς κοι» λίας μου ». Νῦν ἐδοξάσθη ὁ υἱὸς τοῦ ἀνθρώπου. Γινώσκων τὸν Πατέρα ὡς γινώσκεται ὑπὸ τοῦ Πατρός, καὶ ἐκ τῆς μεγαλειότητος τοῦ μείζονος πάντων Πατρός, εἰδὼς τὸ ἑαυτοῦ μεγαλεῖον, ὅμως « οὐχ ἁρπαγμὸν ἡγή» σατο τὸ εἶναι ἴσα Θεῷ, ἀλλ' ἑαυτὸν ἐκένωσε μορφὴν » δούλου λαβών, ἐν ὁμοιώματι ἀνθρώπων γενόμενος ἄν» θρωπος, καὶ σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος ἐταπείνω» σεν ἑαυτὸν γενόμενος ὑπήκοος μέχρι θανάτου, θανάτου » δὲ σταυροῦ ». Ἐν ἴσῃ ἄρα προθυμίᾳ καὶ εὐδοκίᾳ Πατρὸς καὶ Υἱοῦ, ἐν ἴσῃ μακροθυμίᾳ καὶ ἀνοχῇ ἐσώθη ὁ ἐλεεινὸς ἄνθρωπος, ὃν ἠγάπησε καὶ ὁ Υἱός, καθὼς εὐ-

τος ἠγαπήθη ὑπὸ τοῦ Πατρός. « Καθὼς ἠγάπησέ με ὁ Πατὴρ κἀγὼ ἠγάπησα ὑμᾶς ». Ἀλλὰ καὶ ὁ Πατὴρ ἠγάπησε τὸν ἄνθρωπον, ὡς ἠγάπησε τὸν ἑαυτοῦ Υἱόν, ὡς πάλιν γέγραπται « Καὶ ἠγάπησας αὐτούς, καθὼς ἐμὲ » ἠγάπησας »· Ὢ θαυμασία ἰσότης ἀγάπης Πατρὸς καὶ Υἱοῦ, ἧς ἀπήλαυσεν ὁ ἄνθρωπος! Ὄντως τοιοῦτος Πατὴρ ἄξιος τοιούτου Υἱοῦ, καὶ τοιοῦτος Υἱὸς ἄξιος τοιούτου Πατρός, καὶ πάντες ὀφείλομεν τιμᾶν τὸν Υἱόν, καθὼς τιμῶμεν τὸν Πατέρα, « καὶ ὁ ἔχων τὸν Υἱὸν ἔχει καὶ » τὸν Πατέρα, ὁ δὲ μὴ ἔχων τὸν Υἱὸν οὐδὲ τὸν Πατέρα ἔχει, » ὅτι ὁ Υἱὸς θύρα τυγχάνει τῶν προβάτων, καὶ οὐδεὶς » δύναται ἐλθεῖν πρὸς τὸν Πατέρα, εἰμὴ δι' αὐτοῦ ».

Μετὰ τὴν ἀτερπῆ θέαν τοῦ σκότους, πόσον γλυκεῖα τῷ ὀφθαλμῷ ἡ ἀκτὶς τοῦ φωτός; Μετὰ τὴν ἀπεχθῆ θέαν τῆς δυσειδοῦς πόλεως Βαβυλῶνος, πόσον ἡδεῖα τῷ ὀφθαλμῷ ἡ θεωρία τῆς πόλεως Σιών; Ἐξόχως δὲ τοῦ ἀκρογωνιαίου αὐτῆς λίθου, ἐφ' οὗ ἑδράζεται αὐτή τε καὶ τὰ σύμπαντα, καὶ ἐφ' ὅν, ὃς ἂν μὴ στῇ, εἰ κρημνὸν ἀπωλείας ἀπολεσθήσεται. Ἐπὶ τούτου τὸ τῆς διανοίας βλέμμα ἀτενὲς προσηλώσωμεν, τερπόμενοι τῇ θέᾳ· οὐδεὶς δὲ κίνδυνος ἐκ τοῦ ὑπερβάλλοντος φωτός, ὅτι *φῶς ἱλαρὸν ἁγίας δόξης ἀθανάτου Πατρὸς οὐρανίου πέλει*, ἀναλόγως ἡμῖν ἀκτινοβολοῦν τὴν ἑαυτοῦ δόξαν.

Νόησόν μοι Μονάρχην ἀπόλυτον, σοφώτατον ἅμα καὶ κραταιότατον, τῇ Δυνάμει παράγοντα πάντα, τῇ Σοφίᾳ συναρμολογοῦντα καὶ νομοθετοῦντα ἓν ἕκαστον, ἀμετάθετόν τε βουλὴν ἔχοντα ἕκαστον τῶν δημιουργημάτων εἶναι, καθ' οὓς ἐτάξατο ὅρους ἡ ὑπερτάτη αὐτοῦ Σοφία. Οὕτω νοήσας ἕξεις ἐν τῇ διανοίᾳ ἀπεικόνισμά τι τῆς θείας παντοκρατορίας. Ὁ Μονάρχης οὗτος ἐνεργῶν καθ'

SISMANOGLIO MEGARO



ἣν γεννᾷ ἐνυπόστατον Σοφίαν, οὐκ ἔχει αὐτῆς τίμιον καὶ ἄξιον ἄλλο, ὅτι ἐν αὐτῇ ὅλον ἑαυτὸν καθορᾷ κατατρυφῶν ἐν τῇ θεωρίᾳ ταύτης ἀμύθητόν τε καὶ ἀέναον τέρψιν. Ἀμοιβαίως δὲ καὶ ἡ ἐνυπόστατος αὕτη Σοφία ἕξει μόνον σεβαστὸν αὐτῇ πρόσωπον τὸ τοῦ ἑαυτῆς γεννήτορος, καὶ ἐν τῇ θεωρίᾳ αὐτοῦ τὸ ἑαυτῆς μεγαλεῖον θεωροῦσα, τὴν αὐτὴν ἀέναον καὶ ἀμύθητον τερφθήσεται τέρψιν. Οὕτω τὰ δύο πρόσωπα ἐν μιᾷ τε γνώσει, μιᾷ τε ἀγάπῃ, μίαν θείαν φύσιν ἀποτελοῦσι, μίαν ἔχουσαν αἰώνιον ζωήν. Τὴν μίαν ἀγάπην Πατρὸς καὶ Υἱοῦ, ὥσπερ τὴν γεννωμένην Σοφίαν, νοήσεις ἕτερον ἐνυπόστατον πρόσωπον, ἴσον τοῖς δυσίν, ὅτι γέγραπται, ὁ Θεὸς ἀγάπη ἐστί· νοήσεις Πνεῦμα ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον πρὸς τὸν Υἱόν, συνείδησιν ἔχον τελείαν τοῦτε γεννήτορος καὶ γεννήματος, ἐξ οὗ ἔρχεται καὶ πρὸς ὃν ὑπάγει, σύνδεσμον τέλειον τῆς τελειότητος Πατρός τε καὶ Υἱοῦ. Δογματίζει ἡ Ὀρθόδοξος Ἐκκλησία ὅτι τὸ Πνεῦμα τὸ Ἅγιον ἐκπορευόμενον ἐκ τοῦ Πατρός, ἀναπαύεται ἐν τῷ Υἱῷ· ὅπερ ὑπαινίττεται, ὅτι εἰδὸς τὸ Πνεῦμα τὸ ἅγιον τὴν πηγήν, ἐξ ἧς ἐκρέει, ἐν μόνῳ ἴσῳ καὶ ὁμοίῳ προσώπῳ ἵσταται καὶ ἀναπαύεται, καὶ οὐχὶ εἰς ἕτερόν τι ἧττον ἑαυτοῦ, καὶ ἀνάξιον ἑαυτοῦ. Τουτέστι, μόνος ὁ Υἱὸς λαμβάνει πλήρη καὶ τελείαν τὴν δωρεὰν τοῦ Πατρός, καὶ χωρεῖ, οὕτως εἰπεῖν, ἐν αὐτῷ ὅλον τὸν Πατέρα, ὥσπερ καὶ ὁ Πατὴρ τὸν Υἱόν, ὡς γέγραπται, « Καθὼς σὺ Πάτερ » ἐν ἐμοὶ κἀγὼ ἐν Σοί ».

Οὕτως ἡ θεία φύσις ἐστὶν ἅμα στάσις τε καὶ κίνησις, ἀρχὴ καὶ μέση καὶ τέλος· νοοῦν καὶ νοούμενον καὶ νόησις, ἀγαπῶν ἀγαπώμενον καὶ ἀγάπη, τρία καὶ ἕν· ἀλλ' οὐχὶ τρία πρόσωπα καὶ ἓν πρόσωπον, ἀλλὰ τρία πρόσωπα καὶ ἓν ὂν πλῆρες καὶ αὔταρκες ἐν ἑαυτῷ ζῶν τε καὶ μένον, μηδενὸς δεόμενον, κοι-

νωνικόν τε καὶ κοινωνία. Τρία καὶ ἕν, διακρινόμενα καὶ ἑνούμενα, μὴ δυνάμενα συγχυθῆναι μηδὲ διαιρεθῆναι καὶ χωρισθῆναι. Τρία πρόσωπα ἰσοδύναμα ἐν μιᾷ καὶ τῇ αὐτῇ γνώσει ἓν βουλόμενα καὶ ἓν ἐνεργοῦντα. Εἷς Θεὸς δημιουργός, Πατήρ, Υἱὸς καὶ Ἅγιον Πνεῦμα, ὁ ἐπὶ πάντων Θεὸς Εὐλογητὸς νῦν καὶ εἰς τοὺς αἰῶνας, ἀμήν.

Οὕτω δυνάμενοι εἰπεῖν περὶ τῆς θείας φύσεως, ἕως ἂν ὀψώμεθα αὐτὴν πρόσωπον πρὸς πρόσωπον, « ὅτι ἄρτι ὁρῶ» μεν ἐν ἐσόπτρῳ καὶ ἐν αἰνίγματι, καὶ οὐδέπω οὐδὲν » ἔγνωμεν, καθὼς δεῖ γνῶναι, »· λέγομεν ἤδη καὶ περὶ τῆς σχέσεως, ἣν ἔχει πρὸς τὴν κτίσιν, καὶ ἰδίως πρὸς τὸν ἄνθρωπον. Ἡ σύμπασα κτίσις συναρμολογηθεῖσα, κοσμηθεῖσα, καὶ νομοθετηθεῖσα κατὰ τοὺς ὅρους καὶ τοὺς νόμους τῆς ὑπερτάτης Σοφίας ἐστίν, οὕτως εἰπεῖν, ἀπεικόνισμά τι αὐτῆς. Ὁ Πατὴρ παραβάλλων τὴν κτίσιν πρὸς τὸν ἑαυτοῦ Λόγον καὶ θεωρῶν αὐτὴν αὐτῷ σύμφωνον, ἀποδέχεται ταύτην καὶ ἀγαπᾷ, καὶ τοῦτο ἐξηγεῖ τὴν διαμονὴν αὐτῆς μὴ δυναμένης ἀφ' ἑαυτῆς ἑστάναι. Ὁ Υἱός, ὁρῶν ὅτι ἀρέσκει τῷ Πατρὶ μένειν τὴν κτίσιν ἐπὶ τῷ τοιούτῳ ὅρῳ, ἄρχει συμπάσης τῆς κτίσεως κανονίζων καὶ ῥυθμίζων κατὰ τὴν πατρικὴν ἀρέσκειαν. Τὸ Πνεῦμα τὸ Ἅγιον ταμεῖον πάσης χάριτος βραβεύει ἕκαστον κτίσμα ἐμμένον ἐν τοῖς ἑαυτοῦ ὅροις καὶ ὑποτασσόμενον τῷ τοῦ Πατρὸς Λόγῳ· τἀναντία δὲ συμβαίνει ἐν τῇ ἐναντίᾳ περιπτώσει· τουτέστιν, ἐλεύθερον δημιούργημα ἀθετῆσαν τὸν ὅρον τῆς τοῦ Πατρὸς Σοφίας μισεῖται καὶ κατακρίνεται καὶ τιμωρεῖται ὑπὸ τοῦ Ἁγίου Πνεύματος τῇ ἀφαιρέσει τῶν ἑαυτοῦ χαρισμάτων, καὶ εἰς ἔνδειαν καὶ ἀθλιότητα ἑπομένως ἐκπίπτει· ὥστε ἐκφραστέον τὴν σχέσιν τοῦ Θεοῦ πρὸς τὸν σύμπαντα κόσμον οὕτω. Ὁ Πατὴρ ὑπέρτατος κριτὴς τῆς κτίσεως ἐν τῷ Λόγῳ αὐ-

SISMANOGLIO MEGARO



τοῦ, βραβευτής τε αὐτῆς ἢ τιμωρὸς ἐν Ἁγίῳ Πνεύματι. Ὁ Υἱὸς βασιλεύει τῆς κτίσεως, ὁ Πατὴρ δικάζει τὴν κτίσιν, καὶ τὸ Ἅγιον Πνεῦμα βραβεύει ἢ τιμωρεῖ αὐτήν. Καὶ τοιαύτη μὲν ἡ σχέσις τοῦ Θεοῦ ἐν γένει πρὸς σύμπασαν τὴν κτίσιν. Ὁποία δὲ ἰδίως ἐστὶ πρὸς τὸν ἄνθρωπον ; Ἡ σχέσις τοῦ Θεοῦ πρὸς τὸν ἄνθρωπόν ἐστιν αὐτὴ ἐκείνη, ἥτις ὑπάρχει καὶ πρὸς σύμπασαν τὴν κτίσιν, μετὰ ταύτης ὅμως τῆς διαφορᾶς· ὅτι ὁ ἄνθρωπος, καθ' ὃν ἔχει καὶ εἴδομεν ὕψιστον προορισμόν, ἔστι τέλειον ἐκτύπωμα τῆς θείας Σοφίας· διὰ τοῦτο ἀγαπᾶται ὑπὸ τοῦ Πατρὸς ἴσα τῷ Υἱῷ, καὶ ὑπὸ τοῦ Υἱοῦ τῇ ἴσῃ ἀγάπῃ, καὶ ἑπομένως λαμβάνει ἅπασαν τὴν δωρεὰν τοῦ Ἁγίου Πνεύματος· ἐν ἄλλαις λέξεσιν, ὁ Πατὴρ κατ' οὐδὲν βούλεται διαφέρειν τὸν ἄνθρωπον τοῦ Υἱοῦ καὶ Λόγου αὐτοῦ· ὁ Λόγος διὰ τοῦτο ἐξομοιοῖ τὸν ἄνθρωπον πρὸς ἑαυτὸν ἄρχων αὐτοῦ, καὶ ἐπὰν ἐξομοιωθῇ κατὰ πάντα, τὸ Πνεῦμα τὸ Ἅγιον ἀναπαύεται καὶ ἐν τῷ ἀνθρώπῳ, καθὼς καὶ ἐν τῷ Υἱῷ καὶ Λόγῳ. Οὕτως ὁ ἄνθρωπος γίνεται δοχεῖον τῆς Θεότητος, χωρῶν ἐν ἑαυτῷ τὸν Πατέρα καὶ τὸν Υἱόν, καὶ χωρούμενος ἐν τῷ Πατρὶ καὶ τῷ Υἱῷ, ὡς γέγραπται « Καθὼς Σὺ Πάτερ ἐν ἐμοί, » κἀγὼ ἐν Σοί, οὕτω καὶ αὐτοὶ ἐν ἡμῖν ἓν ὦσιν ». « Ἐγὼ » ἐν τῷ Πατρὶ καὶ ὑμεῖς ἐν ἐμοί, κἀγὼ ἐν ὑμῖν ». « Ἐν » ἐκείνῃ τῇ ἡμέρᾳ γνώσεσθε, ὅτι ἐγὼ ἐν ὑμῖν, καὶ ὑμεῖς » ἐν ἐμοί »· « Ὁ ἀγαπῶν με ἀγαπηθήσεται ὑπὸ τοῦ Πα» τρός μου, κἀγὼ ἀγαπήσω αὐτόν, καὶ πρὸς αὐτὸν ἐλευ» σόμεθα, καὶ μονὴν παρ' αὐτῷ ποιήσομεν »· Ὅσον δὲ τυγχάνει τὸ ὕψος τοῦ ἀνθρώπου πειθομένου καὶ ἐξομοιουμένου τῷ Υἱῷ καὶ Λόγῳ, τοσαύτη καὶ ἡ πτῶσις αὐτοῦ ἀπειθοῦντος καὶ διαστρεφομένου εἰς σπέρμα ὄφεως. Ἡ συνθήκη ἄρα τῆς ὑπάρξεως παντὸς κτίσματος, ὥσπερ καὶ

ἀνωτέρω εἴδομεν, ὁ Λόγος τοῦ Θεοῦ ἐστι, δι' οὗ τὰ πάντα
ἐγένετο, καὶ ἐν ᾧ τὰ πάντα ἑστήκασι, καὶ ἡ συνθήκη τῆς
μακαριότητος αὐτοῦ ἐστιν ἡ ὑποταγὴ εἰς τὸν ὑπέρτατον
Λόγον, « ᾧ πᾶν γόνυ κάμψει ἐπουρανίων καὶ ἐπιγείων
» καὶ καταχθονίων, καὶ πᾶσα γλῶσσα ἐξομολογήσεται
» ὅτι Κύριος Ἰησοῦς Χριστὸς εἰς δόξαν Θεοῦ Πατρὸς
» ἀμήν ». Ἡ δὲ συνθήκη τῆς ἐπιτυχίας τοῦ ἀνθρωπίνου
προορισμοῦ ἡ μίμησις τοῦ Ἰησοῦ Χριστοῦ, καὶ ἡ κατὰ
πάντα πρὸς αὐτὸν ἐξομοίωσις. Τὸ ἐντρύφημα ἄρα τοῦ
Θεοῦ καὶ Πατρός, ἡ ἀνάπαυσις τοῦ Ἁγίου Πνεύματος,
ὁ νόμος καὶ ὁ κανὼν πάσης ἐνεργείας, ὁ ὕψιστος προορισμὸς
τοῦ θεοφιλοῦς ἀνθρώπου, ἡ πατρὶς καὶ τὸ ἀγαθὸν ὅλων
τῶν κτισμάτων, ὁ δεσμὸς τοῦ Θεοῦ καὶ τοῦ κόσμου·
ἰδοὺ ὁ λίθος ὁ ἐκλεκτός, ὁ ἔντιμος, ὁ ἀκρογωνιαῖος, ἐφ'
οὗ θεμελιοῦται ἡ πόλις Σιών. Ὁποία ἄρα ἔσται τῇ τε
λαμπρότητι τῇ τε δόξῃ; Ἐξηγησάτω ὁ υἱὸς τῆς βροντῆς,
ὁ γενόμενος ἐν Πνεύματι καὶ ἰδὼν αὐτὴν καινήν,
καταβαίνουσαν ἀπ' οὐρανοῦ καὶ τὸν Θεὸν ἐδρεύοντα ἐν
αὐτῇ, ὡς πόλει πρωτευούσῃ τοῦ σύμπαντος κράτους. « Καὶ
» ἐγὼ Ἰωάννης εἶδον τὴν πόλιν τὴν ἁγίαν, Ἱερουσαλὴμ
» καινήν, καταβαίνουσαν ἀπὸ τοῦ Θεοῦ ἐκ τοῦ οὐρανοῦ,
» ἡτοιμασμένην ὡς νύμφην κεκοσμημένην τῷ ἀνδρὶ αὐ-
» τῆς· καὶ ἤκουσα φωνῆς μεγάλης ἐκ τοῦ οὐρανοῦ λε-
» γούσης, ἰδοὺ ἡ σκηνὴ τοῦ Θεοῦ μετὰ τῶν ἀνθρώπων,
« καὶ σκηνώσει μετ' αὐτῶν· καὶ αὐτοὶ λαοὶ αὐτοῦ ἔσον-
« ται, καὶ αὐτὸς ὁ Θεὸς ἔσται μετ' αὐτῶν, Θεὸς αὐτῶν·
» καὶ ἐξαλείψει ὁ Θεὸς πᾶν δάκρυον ἀπὸ τῶν ὀφθαλμῶν
» αὐτῶν. Καὶ ὁ θάνατος οὐκ ἔσται ἔτι· οὔτε πένθος,
» οὔτε κραυγή, οὔτε πόνος οὐκ ἔσται ἔτι· ὅτι τὰ πρῶτα
» ἀπῆλθον... Καὶ ἀπήνεγκέ με ἐν πνεύματι ἐπ' ὄρος μέγα
» καὶ ὑψηλόν, καὶ ἔδειξέ μοι τὴν πόλιν τὴν μεγάλην,

SISMANOGLIO MEGARO



» τὴν ἁγίαν Ἱερουσαλήμ, καταβαίνουσαν ἐκ τοῦ οὐρανοῦ
» ἀπὸ τοῦ Θεοῦ, ἔχουσαν τὴν δόξαν τοῦ Θεοῦ· καὶ ὁ
» φωστὴρ αὐτῆς ὅμοιος λίθῳ τιμιωτάτῳ, ὡς λίθῳ ἰάσπιδι
» κρυσταλλίζοντι· ἔχουσάν τε τεῖχος μέγα καὶ ὑψηλόν,
» ἔχουσαν πυλῶνας δώδεκα, καὶ ἐπὶ τοῖς πυλῶσιν ἀγ-
» γέλους δώδεκα, καὶ ὀνόματα ἐπιγεγραμμένα, ἅ ἐστι
» τῶν δώδεκα φυλῶν τῶν υἱῶν Ἰσραήλ· ἀπ' ἀνατολῆς
» πυλῶνες τρεῖς, ἀπὸ βορρᾶ πυλῶνες τρεῖς, ἀπὸ νότου
» πυλῶνες τρεῖς, ἀπὸ δυσμῶν πυλῶνες τρεῖς. Καὶ τὸ
» τεῖχος τῆς πόλεως ἔχον θεμελίους δώδεκα, καὶ ἐν αὐ-
» τοῖς ὀνόματα τῶν δώδεκα Ἀποστόλων τοῦ ἀρνίου. Καὶ
» ὁ λαλῶν μετ' ἐμοῦ εἶχε κάλαμον χρυσοῦν, ἵνα με-
» τρήσῃ τὴν πόλιν καὶ τοὺς πυλῶνας αὐτῆς καὶ τὸ τεῖ-
» χος αὐτῆς. καὶ ἡ πόλις τετράγωνος κεῖται, καὶ τὸ
» μῆκος αὐτῆς τοσοῦτόν ἐστιν ὅσον καὶ τὸ πλάτος· καὶ
» ἐμέτρησε τὴν πόλιν τῷ καλάμῳ ἐπὶ σταδίους δώδεκα χι-
» λιάδων· τὸ μῆκος καὶ τὸ πλάτος καὶ τὸ ὕψος αὐτῆς
» ἴσα ἐστίν· καὶ ἐμέτρησε τὸ τεῖχος αὐτῆς ἑκατὸν τεσσα-
» ράκοντα τεσσάρων πηχῶν, μέτρον ἀνθρώπου, ὅ ἐστιν
» ἀγγέλου. Καὶ ἦν ἡ ἐνδόμησις τοῦ τείχους ἴασπις·
» καὶ ἡ πόλις χρυσίον καθαρόν, ὁμοία ὑάλῳ καθαρῷ·
» καὶ οἱ θεμέλιοι τοῦ τείχους τῆς πόλεως παντὶ λίθῳ τι-
» μίῳ κεκοσμημένοι. Ὁ θεμέλιος ὁ πρῶτος ἴασπις, ὁ δεύ-
» τερος σάπφειρος, ὁ τρίτος χαλκηδών, ὁ τέταρτος σμά-
» ραγδος, ὁ πέμπτος σαρδόνυξ, ὁ ἕκτος σάρδιος, ὁ
» ἕβδομος χρυσόλιθος, ὁ ὄγδοος βήρυλλος, ὁ ἔννατος
» τοπάζιον, ὁ δέκατος χρυσόπρασος, ὁ ἑνδέκατος ὑάκιν-
» θος, ὁ δωδέκατος ἀμέθυστος. Καὶ οἱ δώδεκα πυλῶνες
« δώδεκα μαργαρῖται· ἀνὰ εἷς ἕκαστος τῶν πυλώνων
» ἦν ἐξ ἑνὸς μαργαρίτου· καὶ ἡ πλατεῖα τῆς πόλεως χρυ-
» σίον καθαρόν, ὡς ὕαλος διαφανής. Καὶ ναὸν οὐκ εἶδον

» ἐν αὐτῇ· ὁ γὰρ Κύριος ὁ Θεὸς ὁ Παντοκράτωρ ναὸς αὐ- » τῆς ἐστι, καὶ τὸ ἀρνίον. Καὶ ἡ πόλις οὐ χρείαν ἔχει » τοῦ ἡλίου οὐδὲ τῆς σελήνης, ἵνα φαίνωσιν ἐν αὐτῇ. » Ἡ γὰρ δόξα τοῦ Θεοῦ ἐφώτισεν αὐτήν, καὶ ὁ λύχνος » αὐτῆς τὸ ἀρνίον. Καὶ τὰ ἔθνη τῶν σωζομένων ἐν τῷ » φωτὶ αὐτῆς περιπατήσουσι· καὶ οἱ βασιλεῖς τῆς γῆς » φέρουσι τὴν δόξαν καὶ τὴν τιμὴν αὐτῶν εἰς αὐτήν· καὶ » οἱ πυλῶνες αὐτῆς οὐ μὴ κλεισθῶσιν ἡμέρας· νὺξ γὰρ » οὐκ ἔσται ἐκεῖ· καὶ οἴσουσι τὴν δόξαν καὶ τὴν τιμὴν » τῶν ἐθνῶν εἰς αὐτήν· καὶ οὐ μὴ εἰσέλθῃ εἰς αὐτὴν πᾶν » κοινοῦν καὶ ποιοῦν βδέλυγμα καὶ ψεῦδος, εἰμὴ οἱ γε- » γραμμένοι ἐν τῷ βιβλίῳ τῆς ζωῆς τοῦ ἀρνίου. Καὶ » ἔδειξέ μοι καθαρὸν ποταμὸν ὕδατος ζωῆς, λαμπρὸν ὡς » κρύσταλον ἐκπορευόμενον ἐκ τοῦ θρόνου τοῦ Θεοῦ καὶ » τοῦ ἀρνίου. Ἐν μέσῳ τῆς πλατείας αὐτῆς καὶ τοῦ πο- » ταμοῦ ἐντεῦθεν καὶ ἐντεῦθεν ξύλον ζωῆς, ποιοῦν καρ- » ποὺς δώδεκα, κατὰ μῆνα ἕνα ἕκαστον ἀποδιδοῦν τὸν » καρπὸν αὐτοῦ· καὶ τὰ φύλλα τοῦ ξύλου εἰς θεραπείαν » τῶν ἐθνῶν· καὶ πᾶν κατανάθεμα οὐκ ἔσται ἔτι· καὶ » ὁ θρόνος τοῦ Θεοῦ καὶ τοῦ ἀρνίου ἐν αὐτῇ ἔσται, καὶ » οἱ δοῦλοι αὐτοῦ λατρεύσουσιν αὐτῷ· καὶ ὄψονται τὸ » πρόσωπον αὐτοῦ, καὶ τὸ ὄνομα αὐτοῦ ἐπὶ τῶν μετώ- » πων αὐτῶν, καὶ νὺξ οὐκ ἔσται ἐκεῖ· καὶ χρείαν οὐκ » ἔχουσι λύχνου καὶ φωτὸς ἡλίου, ὅτι Κύριος ὁ Θεὸς » φωτίζει αὐτούς, καὶ βασιλεύσουσιν εἰς τοὺς αἰῶνας » τῶν αἰώνων. » Καὶ οὕτω μὲν δυνατὸν παραστῆσαι ἐν λόγῳ τὴν λαμπρότητα τῆς πόλεως, ἧς τεχνίτης καὶ δημιουργὸς ὁ Θεός. Ἡμῖν δὲ συμφέρει, ἵνα πολιτογραφῶμεν ἐν αὐτῇ, θεωρῆσαι τὸν τρόπον τῆς οἰκοδομῆς, ἀνεγειρομένης ἐκ τῶν ἐξόχων λίθων τῆς ὁσημέραι καταπιπτούσης Βαβυ-

SISMANOGLIO MEGARO



λῶνος, ἐπειδὰν πρότερον κατεργασθῶσι καὶ μορφωθῶσι κατὰ λόγον τῆς αἰωνίας πόλεως.

Νόησόν μοι καὶ αὖθις πεδίον εὐρὺ πλῆρες λίθων μαρμαρίνων ἀτάκτως τε ἐῤῥιμένων καὶ ἀνωμάλων· αὕτη ἡ εἰκὼν τῶν νεκρῶν τοῖς παραπτώμασιν ἀνθρώπων. Ἐν μέσῳ τοῦ πεδίου ἐρχόμενον ἀρχιτέκτονα καὶ ἀνεγείροντα ἐργοστάσιον μέγα πρὸς κατεργασίαν τῶν ἀνωμάλων λίθων· καὶ ἀφοῦ τοῦτο κατηρτίσατο καὶ διετάξατο πάντα ὡς ἔδει· ἀπερχόμενον ὅπου οἰκοδομηθήσεται ἡ πόλις, ὅπως διατάσσηται τὴν θέσιν ἑνὸς ἑκάστου τῶν κατειργασμένως πεμπομένων λίθων ἐκ τοῦ ἐργοστασίου· τὸ ἐργοστάσιον τοῦτό ἐστιν ἡ ἐπὶ τῆς πέτρας οἰκοδομηθεῖσα Ἐκκλησία, εἰς ἣν ὃς ἂν μὴ εἰσέλθῃ καὶ ἐξέλθῃ κατειργασμένος, οὐκ ἔσται μέλος τῆς πόλεως Σιών, ἀλλὰ μενεῖ ἔξω. Τὸ ἐργοστάσιον τοῦτό ἐστιν, ἐν ἄλλαις λέξεσιν, ἡ ἐπὶ τῆς παρούσης ζωῆς ἐν Χριστῷ ἀνθρώπινος κοινωνία, ἧς τὴν φύσιν καὶ τὸν διοργανισμὸν θεωροῦμεν ἤδη.

Ἀφοῦ εἴασεν ὁ Θεὸς τὰ ἔθνη πορεύεσθαι ἐν τοῖς θελήμασι τῶν καρδιῶν αὐτῶν, καὶ παθεῖν ἄξια τῆς ἑαυτῶν ἀπειθείας, χωρὶς τοῦ ἀγαθοῦ ἔξω λόγου καὶ ἀναλογίας βιοῦντα, ἐλέῳ καὶ οἴκτῳ παρεγένετο ἐν αὐτοῖς, κεκοινωνικὼς σαρκὸς καὶ αἵματος, χεῖρα βοηθείας ἐκτείνων τοῖς πεπτωκόσιν εἰς βόθυνον, καὶ ἐγείρων τοὺς ἁπτομένους αὐτῆς κατὰ τὸ ἑαυτοῦ ὕψος. Θεραπεύων δὲ τὰς νόσους καὶ τὰς μαλακίας τῆς ἀνθρωπότητος ὤφειλε παθεῖν, ὅσα συμπαθὴς ἰατρὸς θεραπεύων ἀσθενῆ ὑπὸ τῆς νόσου παραφρονοῦντα καὶ μὴ προσιέμενον τὰ φάρμακα. Ἐν μέσῳ κοινωνίας διοικουμένης κατὰ τὸν νόμον τοῦ φθόνου καὶ τῆς ἐπάρσεως, αἱ ἀγαθοεργίαι ἦν ἑπόμενον, ὅπως διαβληθῶσιν ὡς παρανομίαι, ὡς εἶπε καὶ ὁ σοφός, « ὅτι βα- » σκανία φαυλότητος ἀμαυροῖ τὰ καλά »· ἡ δὲ καταδίκη

τοῦ θανάτου εἵπετο, ὅπως ἐπιταχυνθῇ πρὸς σωτηρίαν τῶν καθεστώτων· ἀλλ᾽ ἐν τῇ παγίδι ταύτῃ, ᾗ ἔκρυψαν, συνελήφθη ὁ ποὺς αὐτῶν. Ὁ καρτερικὸς ἡρωϊσμὸς τοῦ Υἱοῦ τοῦ ἀνθρώπου πρός τε τὰς σωματικὰς ὀδύνας, πρός τε τὰς ἠθικὰς προσβολὰς καὶ ἀτιμώσεις, ἡ ἐκ νεκρῶν φανερώτερον φωτὸς μαρτυρηθεῖσα ἀνάστασις αὐτοῦ, καὶ πλεῖστα ἄλλα τεκμήρια, ἔπεισαν τοὺς ἀνθρώπους πιστεῦσαι, ὅτι αὐτός ἐστι τὸ ἐπιπόθητον ἀγαθόν, ἐν ᾧ μόνῳ σωθήσεται πᾶς ἄνθρωπος· καὶ τοῦτο προειδὼς ἔλεγεν, « Ἐὰν ἐγὼ ὑψωθῶ ἐκ τῆς γῆς, πάντας ἑλκύσω πρὸς » ἐμαυτόν ». Τοῦ ἀγαθοῦ τοίνυν ἐν σαρκὶ φανερωθέντος, καὶ ἐν ἀποδείξει Πνεύματος Ἁγίου καὶ δυνάμεως πιστευθέντος, συνέστη ἐπ᾽ αὐτοῦ κοινωνία ἐναντία καὶ πολεμία τῆς ἐν κόσμῳ ὑφισταμένης, ἀντιθέτου φύσεως, καὶ ἀντιθέτων ἀποτελεσμάτων· ἀφοῦ τοίνυν θεωρήσωμεν αὐτὴν καθ᾽ ἑαυτήν, ὀψόμεθα ἑπομένως καὶ πῶς ὡρίσθη πολιτεύεσθαι πρὸς τὴν ἐναντίαν, ἥτις τάχιον ἢ βράδιον ἐκλείψει ἀπὸ προσώπου τῆς γῆς.

Κοινωνία οὐκ ἔστιν ἄλλο ἢ συμμέθεξις τοῦ κοινοῦ ἀγαθοῦ, καὶ χωρὶς ἀγαθοῦ τινος ὄντος ἢ δοκοῦντος ἀδύνατον ἡ κοινωνία. Ἡ πρώτη ἄρα συνθήκη τῶν μεθισταμένων εἰς τὴν ἐν Χριστῷ κοινωνίαν ἐστὶν ἡ ἄρνησις τῶν ἐν κόσμῳ νομιζομένων ἀγαθῶν, καὶ ἡ ἐκ πίστεως ἀκλονήτου ὁμολογία, ὅτι ὁ Χριστός ἐστι τὸ καθ᾽ αὑτὸ *ἀγαθόν*, δι᾽ οὗ ὁ ἄνθρωπος πληρώσει πάσας τὰς ἑαυτοῦ χρείας. Ἡ πίστις αὕτη ἐστὶν ἀποτέλεσμα, ἔνθεν μὲν τῆς συνειδήσεως, ἣν ἔχει πᾶς ἄνθρωπος περὶ τῆς χρείας ἑνὸς ἀγαθοῦ, δι᾽ οὗ γενήσεται μακάριος, καὶ τῆς ἐκ τῆς πείρας πληροφορίας, ὅτι τὰ ὑλικὰ ἀντικείμενα, οἷς χρώμεθα, οὐκ εἰσὶν ἀληθῶς ἀγαθά, ἔνθεν δὲ τῶν ἐξωτερικῶν τεκμηρίων, ἅτινα παρέχει ὁ Θεὸς τῷ ἀνθρώπῳ πρὸς πλη-

SISMANOGLIO MEGARO



ροφορίαν, ὅτι ὁ Χριστός ἐστιν ὁ ἀγαπητὸς Υἱός, ἐν ᾧ ηὐδόκησε τὴν ἡμετέραν σωτηρίαν. Ἡ πίστις αὕτη πρῶτον βῆμα τοῦ ἀνθρώπου πρὸς τὴν ἑαυτοῦ σωτηρίαν, ἔννομός τε καὶ δεδικαιολογημένη, τοσοῦτον ὅμως παρεννοήθη καὶ διεβλήθη ὑπὸ τῶν σοφῶν τοῦ αἰῶνος τούτου, ὥστε ἐδέησε λαλῆσαι ὑπὲρ αὐτῆς τὰ δέοντα ἐν τοῖς προλεγομένοις, πρός τε τὴν ἐξέλεγξιν τῆς πλάνης καὶ τὸν στηριγμὸν τῶν πιστῶν. Ἐνταῦθα δὲ λέγομεν, ὅτι, ὅσοι οὕτως ἐπίστευσαν τῷ Χριστῷ, οὐ μετεμελήθησαν, ἀλλ᾽ ἔγνωσαν τὴν *ἀλήθειαν* καὶ συνῆκαν, τὸν Θεὸν εὐλογοῦντες καὶ ἑαυτοὺς μακαρίζοντες, ὅτι *ἐγεύσαντο καὶ εἶδον ὅτι Χριστὸς ὁ Κύριος*. Πρώτη δὲ χρεία παντὸς ἀνθρώπου ἐν μόνῳ τῷ Χριστῷ θεραπευομένη ἐστὶν ἡ ἄφεσις τῶν ἑαυτοῦ ἁμαρτιῶν, ἣν λαμβάνει διὰ τοῦ ἁγίου βαπτίσματος. Ἡ ἁμαρτία ἐνέργεια οὖσα τῆς ψυχῆς ἀντικειμένη τῇ θείᾳ βουλῇ, πρῶτον μὲν ποιεῖ αὐτὴν ἀπεχθῆ καὶ ὑπόδικον τῇ θείᾳ δικαιοσύνῃ, δεύτερον δὲ διαστρέφει τὴν φύσιν καὶ τὸν μηχανισμὸν αὐτῆς τῆς ψυχῆς ἀμβλύνουσα καὶ μαραίνουσα ταύτην, καὶ ἀνίκανον καθιστῶσα δι᾽ ἑκάστης τῶν ἑαυτῆς δυνάμεων ἀποδιδόναι τὰς προσηκούσας ἐνεργείας. Καὶ ὃν λόγον ἔχει σκωρία πρὸς σίδηρον, καὶ νόσος πρὸς σῶμα, τὸν αὐτὸν ἔχει λόγον καὶ ἁμαρτία πρὸς ψυχήν. Ὅθεν ὁ πιστεύων καὶ βαπτιζόμενος, ἔνθεν μὲν ὑγιαίνει κατ᾽ αὐτὴν τὴν ψυχήν, δυναμένην τοῦ λοιποῦ ἐνεργεῖν καὶ κινεῖσθαι, ὥσπερ τὸ ἀναῤῥωσθὲν σῶμα, ἔνθεν δὲ φιλιοῦται καὶ εἰρηνεύει τῷ δικαίῳ Θεῷ ἐξιλεουμένῳ τῇ θυσίᾳ τοῦ ἀμώμου ἀμνοῦ τοῦ αἴροντος τὴν ἁμαρτίαν τοῦ κόσμου, ὡς γέγραπται· *Δικαιωθέντες οὖν ἐκ πίστεως εἰρήνην ἔχομεν πρὸς τὸν Θεὸν διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ*.

Δευτέρα δὲ χρεία τοῦ ἀνθρώπου ἐστὶν ἡ μακαριότης·

τουτέστιν, ἡ πλήρωσις πασῶν τῶν θεοσδότων ἐπιθυμιῶν, ἣν ἄν τις καὶ θέωσιν καλέσῃ, οὐκ ἂν ἁμάρτοι. Πᾶς ἄνθρωπος ζῶν, ἐφίεται καὶ αἰωνίως ζῆν. Ταύτην δὲ τὴν ἔφεσιν πληροῖ ἐν Χριστῷ ἐσθίων τὸν ἄρτον τῆς ζωῆς τὸν καταβαίνοντα ἐκ τοῦ οὐρανοῦ καὶ ζωὴν διδόντα τῷ κόσμῳ· ὅτι γέγραπται, ὁ τρώγων τοῦτον τὸν ἄρτον ζήσεται εἰς τὸν αἰῶνα· καὶ ποτιζόμενος τὰ ἀγλαὰ νάματα τῆς εὐαγγελικῆς διδασκαλίας, ὅτι πάλιν γέγραπται, Τὰ ῥήματα, ἃ ἐγὼ λαλῶ ὑμῖν, Πνεῦμά ἐςι καὶ ζωή ἐςιν. Ὁ ἀκούων ἄρα τῶν εὐαγγελικῶν ῥημάτων καὶ κατέχων αὐτὰ ἐν τῇ ἑαυτοῦ ψυχῇ κατέχει πνεῦμα καὶ ζωήν, ἤτοι ζῇ καὶ κινεῖται ἐν αὐτῇ τῇ ζωῇ. Πᾶς ἄνθρωπος γνῶσιν ἔχων τινῶν, ἐφίεται εἰδέναι πάντα. Ταύτην δὲ τὴν ἔφεσιν οὐκ ἂν δύναιτο πληρῶσαι ἄλλως, ἢ Χριστῷ μαθητευόμενος. Ὁ Χριστὸς ἔχει τὴν ἀξίωσιν, ὅπως μόνος καλῆται καθηγητὴς καὶ διδάσκαλος λέγων· Ὑμεῖς δὲ μὴ κληθῆτε καθηγηταί, εἷς γάρ ὑμῶν ἐςιν ὁ καθηγητὴς ὁ Χριστός. Καί, ὑμεῖς φωνεῖτέ με ὁ Κύριος καὶ ὁ διδάσκαλος, καὶ ὀρθῶς λέγετε, εἰμὶ γάρ. Ἀλλ' ὁ Χριστὸς ἐςὶ παγγνώστης διδάσκαλος, ὃς ἐξεῦρε πᾶσαν ὁδὸν ἐπιστήμης· ἄρα καὶ οἱ μαθηταὶ αὐτοῦ κατηρτισμένοι ἔσονται, ὡς ὁ διδάσκαλος αὐτῶν· ὅτι καὶ οὕτω γέγραπται, καὶ οὕτως ἡ φύσις τοῦ πράγματος ἀπαιτεῖ. Οὐδεὶς γὰρ διδάσκαλος βούλεται κρύπτειν ἀπὸ τῶν μαθητῶν τὴν ἑαυτοῦ γνῶσιν, οὐδὲ ἑτέρως νοεῖν τοὺς μαθητὰς τὰ διδασκόμενα ἢ αὐτός· ἀλλ' εὔχεται μαθητὰς ἀναδεῖξαι ἀξίους ἑαυτοῦ. Οὐκέτι ὑμᾶς λέγω δούλους, ὅτι ὁ δοῦλος οὐκ οἶδε τί ποιεῖ αὐτοῦ ὁ Κύριος· ὑμᾶς δὲ εἴρηκα φίλους, ὅτι πάντα, ἃ ἤκουσα παρὰ τοῦ Πατρός μου



ἐγνώρισα ὑμῖν. Καί, οὐδεὶς γινώσκει τίς ἐςιν ὁ Υἱός, εἰ μὴ ὁ Πατήρ, καὶ τίς ἐςιν ὁ Πατήρ, εἰ μὴ ὁ Υἱός, καὶ ᾧ ἐὰν βούληται ὁ Υἱὸς ἀποκαλύψαι. Βούλεται δὲ πάντως τοῖς ἑαυτοῦ μαθηταῖς. Ἡ παγγνωσία ἄρα, ἧς ἐφίεται πᾶς ἄνθρωπος, οὐκ ἂν τυγχάνοι ἐφικτὴ ἄλλως, ἢ ἐν τῇ μαθητείᾳ παρὰ παγγνώςῃ διδασκάλῳ. Πᾶς ἄνθρωπος, οὖσα δύναμις ἐλευθέρα καὶ ἐνεργός, ἐφίεται ἅμα δύνασθαι ἐνεργεῖν καὶ νομίμως ἐνεργεῖν· ὅτι πᾶς ἄνθρωπος οὐ μόνον χαίρει ἐργαζόμενος τὴν ἀρετὴν αὐτός, ἀλλὰ καὶ ἐπαινεῖ τοὺς ἐν ἀρετῇ βιοῦντας. Ἀλλ' ἡ νόμιμος ἐνέργειά ἐςιν ἀποτέλεσμα τῆς αἰωνίου ζωῆς καὶ τῆς τελείας γνώσεως· καὶ σκόπει. Ὅταν ἁμαρτάνω, ἁμαρτάνω, ἢ διότι ἀγνοῶ τὸν νόμον, ἢ διότι φοβοῦμαι τὸν θάνατον ἢ ὅμοιόν τι δεινόν, ἢ διότι ἐφίεμαι τὴν πλήρωσιν ἀθεμίτου τινὸς ἡδονῆς. Καὶ ὅτι μὲν ἡ ἄγνοια αἰτία ἐστὶ παρανομίας, παντί που δῆλον· πῶς γὰρ ποιήσω ὅ,τι ἀγνοῶ; Ὅτι δὲ πολλάκις, καίτοι γνῶσιν ἔχοντες τοῦ νόμου, ἁμαρτάνομεν, τοῦτο συμβαίνει ἢ δελεάσματι ἡδονῆς ἢ ἕνεκα φόβου. λ: χ: φονεύω τὸν ἐχθρόν, φοβούμενος, μὴ προλαβὼν ἐκεῖνος ἐμὲ φονεύσῃ. πλεονεκτῶ, φοβούμενος τὰ ἐκ τῆς ἐνδείας δεινά. Ἐπιβουλεύω τῷ πλησίον, φοβούμενος, μήπως ἐν πολλῇ εὐτυχίᾳ γενόμενος καταδυναστεύσῃ μου, καὶ οὕτω καθεξῆς. Ἕπεται ἄρα κατὰ γεωμετρικὴν ἀνάγκην, ὅτι ὁ ἐν Χριστῷ ἀπολαύων αἰωνίου ζωῆς, καὶ ἡδονῆς ἀμυθήτου πληρούμενος ἐν τῷ φωτὶ τῆς θείας γνώσεως, πολιτεύσεται κατὰ τὸν τελειότατον νόμον, καὶ ἔσεται τέλειος κατὰ τὴν ἐντολήν· « Γίνεσθε οὖν ὑμεῖς τέλειοι, ὅτι καὶ ὁ Πατὴρ ὑμῶν ὁ ἐν τοῖς οὐρανοῖς τέλειός ἐςι. Ποῦ νῦν αἱ ἀδολεσχίαι, ἃς διηγήσαντο παράνομοι, διαβάλλοντες τὴν Εὐαγγελικὴν ἠθικὴν ὡς ἰδανικὴν τελειότη-



SISMANOGLIO MEGARO

τα, ἀνέφικτόν τε καὶ ἀτέλεστον πράγματι; Πλανῶνται μὴ εἰδότες τὰς γραφὰς μηδὲ τὴν ἀγαθότητα τοῦ Θεοῦ. Ὁμολογοῦμεν ὅτι ὁ Εὐαγγελικὸς νόμος, εἰς πολιτείαν ἐστερημένην τοῦ αὐτάρκους ἀγαθοῦ καὶ ᾠκοδομημένην ἐπὶ τῆς ἄμμου, ἔσται κατ᾽ αὐτοὺς ἰδανικὴ τελειότης ἀνέφικτός τε καὶ ἀτέλεστος πράγματι. Διότι τὸ φρόνημα τῆς σαρκὸς ἔχθρα εἰς Θεόν, τῷ γὰρ νόμῳ τοῦ Θεοῦ οὐχ ὑποτάσσεται, οὐδὲ γὰρ δύναται. Ἀλλ᾽ εἰς πολιτείαν, οἵα ἡ πόλις Σιών, τεθεμελιωμένην ἐπὶ τοῦ αὐτάρκους ἀγαθοῦ, ὅπερ οὐδεὶς ἐξαντλῆσαι δύναται, ὅπου χώραν οὐκ ἔχει ἡ ἔνδεια καὶ ὁ φθόνος, οὐδὲ ἡ ἐπάρατος ἔπαρσις, ἡ Εὐαγγελικὴ ἠθικὴ τυγχάνει ἀναπόφευκτος ἀνάγκη. Καὶ καθὼς ἐν τῇ ἀντιθέτῳ πολιτείᾳ ἀδύνατός ἐστιν ἡ δικαιοσύνη, οὕτως ἐν ταύτῃ ἀδύνατός ἐστιν ἡ ἀδικία. Καὶ δεῦτε ἐπιγνῶμεν τὴν ἀλήθειαν ταύτην ἐκ τῆς παραθέσεως. Νομοθέτησον ἐν τῇ κοσμικῇ πολιτείᾳ τῇ ἀγνοούσῃ τὸ ἀγαθὸν τόνδε τὸν νόμον. Μὴ ἀντιστῆναι τῷ πονηρῷ, ἀλλ᾽ ὅστις σε ῥαπίσει ἐπὶ τὴν δεξιάν σου σιαγόνα, πάρεχε αὐτῷ καὶ τὴν ἄλλην. Ὅτε νομοθέτης, ὅτε ἀποπειρώμενος ἐφαρμόσαι τὸν νόμον, λογισθήσονται μωροί τινες καὶ ἄτοποι λίαν. Ἐροῦσι γάρ· Ἡ ζωή μοί ἐστιν ἀγαθόν, καὶ ἡ περιποίησις αὐτῆς ἐστι μοι φυσικὴ ἀνάγκη. Ἔχω ἄρα τὸ δικαίωμα προασπίζεσθαι αὐτῆς, καὶ ἀποκρούειν τὰς κατ᾽ αὐτῆς προσβολάς. Ἑπομένως φονεῦσαι, εἴπου τύχοι, ὅπως μὴ φονευθῶ. Ἐὰν δὲ μὴ οὕτω ποιήσω, δόξω ἢ δειλός, ἢ εὐήθης τις ὤν, ὡς μὴ ποιῶν χρῆσιν τοῦ φυσικοῦ μοι δικαιώματος. Ὄντως αὕτη Δημοσθενικὴ ἀπολογία καθ᾽ ἧς οὐδὲν ἔχει τις εἰπεῖν. Ἀλλ᾽ ἡ ἀθέτησις τοῦ αὐτοῦ νόμου ἐν τῇ Ἀγαθουπόλει τῇ ἀντικειμένῃ τῇ Πονηρουπόλει ἐπίσης λογισθήσεται εἰς μωρίαν ὅλως ἀναπολόγητον. Ἐρῶ γάρ. Ἡ ζωή, χορηγουμένη μοι ὑπὸ τοῦ αὐτάρκους ἀγαθοῦ, ἐστί μοι αἰώνιος καὶ ἀκατάλυτος φύσει· ἀνθιστάμενος ἄρα τῷ πονηρῷ προσβάλοντί μοι τὴν ζωήν, ἀπονέμω αὐτῷ ἱκανότητα τοῦ καταλύειν τὴν ζωήν, ἣν ἔχει μόνον τὸ ἀγαθόν, καὶ ἐλέγχομαι ἄφρων, τήν τε ἀσθένειαν τῆς πονηρίας ἀγνοῶν, τήν τε τοῦ ἀγαθοῦ δύναμιν. Εἰ τοίνυν νουνεχῶς ἔχω, ἐάσω αὐτὸν λακτίζειν πρὸς κέντρα, ἕως ἂν ἡ ἐπιγνοὺς ὑποταγῇ, ἢ σκληρυνθεὶς κατασυντριβῇ ἀφ᾽ ἑαυτοῦ. Οὕτως κἀγὼ ἀπολογήσομαι, καὶ εἴ τίς τι ἔχει ἀντιλέγειν, ἀντιλεγέτω. Ἐγὼ σιγήσω, καὶ οὐ λαλήσω, τοῦ σταυροῦ καὶ τῆς ἱστορίας πάνυ προθύμως ὑπὲρ ἐμοῦ συνηγορούντων. Ἰδοὺ ἐγὼ ἀποστέλλω ὑμᾶς ὡς πρόβατα ἐν μέσῳ λύκων. Μὴ φοβεῖσθε ἀπὸ τῶν ἀποκτεινόντων τὸ σῶμα τὴν δὲ ψυχὴν μὴ δυναμένων ἀποκτεῖναι. Ὑποδείξω ὑμῖν τίνα φοβηθῆτε. Φοβήθητε τὸν δυνάμενον ψυχὴν καὶ σῶμα ἀπολέσαι ἐν γεέννῃ. Νομοθέτησον δεύτερον, Παντὶ τῷ αἰτοῦντί σε δίδου, καὶ τὸν θέλοντα ἀπὸ σοῦ δανείσασθαι μὴ ἀποστραφῇς. Πῶς ἔσται δυνατὴ ἡ ἐκτέλεσις καὶ τούτου τοῦ Εὐαγγελικοῦ νόμου παρ᾽ ἀνθρώποις ὁριζομένοις τὸ ἀγαθὸν καὶ τὴν εὐδαιμονίαν ἐν τῷ πλούτῳ; Λογίσεται γὰρ οὕτω· ἐὰν βουληθῶ τοῦτον τὸν νόμον ἐκτελέσαι, ἐν ὀλίγῳ χρόνῳ κενώσω τὸ ἐμὸν βαλάντιον, ὅπερ ἐπλήρωσα μετὰ τοσούτου κόπου καὶ μόχθου, καὶ μενῶ ἐνδεὴς καὶ καταγέλαστος ἐπὶ εὐηθείᾳ, καὶ οὐχὶ ἀξιέπαινος ἐπὶ ἀρετῇ. Ἀλλ᾽ ὁ πλούσιος ἐν Χριστῷ, ἐπειδὰν ἄρτῳ καὶ ὕδατι στηρίξῃ τὸ ἑαυτοῦ σαρκίον, πῶς ἀνέξεται κατέχειν παρ᾽ ἑαυτῷ μέταλλα ἄχρηστα, καὶ μὴ μεταδιδόναι τοῖς αἰτουμένοις καὶ χρείαν ἔχου-



SISMANOGLIO MEGARO

σι; Ἀλλ' ἐὰν καὶ γένηται χρεία ἀποδοῦναι καὶ αὐτὰ τὰ ἀπολύτως ἀναγκαῖα τῆς ἰδίας χρείας, νηστεύσει ἡμέρας τεσσαράκοντα καὶ νύκτας τεσσαράκοντα, εἰδώς, ὅτι οὐκ ἐπ' ἄρτῳ μόνῳ ζήσεται ἄνθρωπος. Τρίτον, Ἐγὼ δὲ λέγω ὑμῖν ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν, καὶ εὔχεσθε ὑπὲρ αὐτῶν. Ὢ! κράζουσιν οἱ Πονηρουπολῖται, σκληρός ἐςιν οὗτος ὁ λόγος· τίς δύναται αὐτοῦ ἀκούειν; Ἀλλ' ἡμῖν τοῖς Ἀγαθουπολίταις τί γλύκιον καὶ ἥδιον τῆς ἐκτελέσεως ταύτης τῆς ἐντολῆς; Ἀγαπᾷν τοὺς ἐχθροὺς σημαίνει παρ' ἡμῖν κοινωνοὺς ποιεῖν αὐτοὺς οὗ ἔχομεν ἀγαθοῦ, καὶ εὔχεσθαι γενέσθαι καὶ αὐτοὺς μακαρίους ἐν τῷ αὐτῷ ἀγαθῷ. Ἀλλὰ τὸ ἀγαθὸν αὔταρκες καὶ ἄφθονον, καὶ ὅσῳ πλείονες οἱ μετέχοντες, τοσούτῳ πλείων ἔσται καὶ ἡ χαρά. Οὐ δύναμαι ἄρα ἐγὼ γλυκερώτερον ἄλλο ἰδέσθαι, ἢ πλουτίζειν καὶ μακαρίζειν ἐν Χριστῷ τέκνα ἐνδείας καὶ ἀπωλείας. Καὶ ὅτι νόμος οὗτος ἐνεργείας τῆς ἐπιγνώσεως τοῦ ὄντος ἀγαθοῦ, μάνθανε ἐκ ταύτης τῆς εἰκόνος. Νόησόν μοι τράπεζαν πλουσίαν βρίθουσαν ἐδητύος καὶ πόσιος παντοίας, καὶ ὅτι μόνος καθίζεις φαγεῖν. Ἀθυμήσεις πάντως ἐπὶ τῇ ἀφθονίᾳ τῶν φαγητῶν καὶ τῇ σῇ μονώσει, καὶ ζητήσεις δαιτυμόνας ἀναλόγως τῆς ἀφθονίας, οὓς εὑρών, πλείστης ὅσης ἐμφορηθήσῃ εὐφροσύνης· ἀλλ' οὐχ ἧττον τῆς εἰκόνος ταύτης ἑρμηνεύει τὸν νόμον τῆς ἐνεργείας τοῦ ἀγαθοῦ ἡ Εὐαγγελικὴ αὕτη παραβολή. « Ἄνθρωπός τις ἐποίησε δεῖ-
» πνον μέγα καὶ ἐκάλεσε πολλούς· καὶ ἀπέστειλε τὸν
» δοῦλον αὐτοῦ τῇ ὥρᾳ τοῦ δείπνου εἰπεῖν τοῖς κεκλημέ-
» νοις, ἔρχεσθε, ὅτι ἤδη ἕτοιμά ἐςι πάντα. Καὶ ἤρξαντο
» ἀπὸ μιᾶς παραιτεῖσθαι πάντες. Ὁ πρῶτος εἶπεν αὐτῷ,
» ἀγρὸν ἠγόρασα, καὶ ἔχω ἀνάγκην ἐξελθεῖν καὶ ἰδεῖν



» αὐτόν, ἐρωτῶσε, ἔχε με παρῃτημένον. Καὶ ἕτερος εἶπε,
» γυναῖκα ἔγημα, καὶ διὰ τοῦτο οὐ δύναμαι ἐλθεῖν. Καὶ
» παραγενόμενος ὁ δοῦλος ἐκεῖνος ἀπήγγειλε τῷ Κυρίῳ
» αὐτοῦ ταῦτα. Τότε ὀργισθεὶς ὁ οἰκοδεσπότης εἶπε τῷ
» δούλῳ αὐτοῦ, ἔξελθε ταχέως εἰς τὰς πλατείας καὶ ῥύ-
» μας τῆς πόλεως, καὶ τοὺς πτωχοὺς καὶ ἀναπήρους
» καὶ χωλοὺς καὶ τυφλοὺς εἰσάγαγε ὧδε. Καὶ εἶπεν ὁ
» δοῦλος· Κύριε γέγονεν ὡς ἐπέταξας, καὶ ἔτι τόπος
» ἐστί. Καὶ εἶπεν ὁ Κύριος πρὸς τὸν δοῦλον· Ἔξελθε
» εἰς τὰς ὁδοὺς καὶ φραγμούς, καὶ ἀνάγκασον εἰσελθεῖν,
» ἵνα γεμισθῇ ὁ οἶκός μου, λέγω γὰρ ὑμῖν ὅτι οὐδεὶς τῶν
» ἀνδρῶν ἐκείνων τῶν κεκλημένων γεύσεταί μου τοῦ
» δείπνου ». Νόησον ἀντὶ δείπνου τὸ τὰ σύμπαντα τρέφον ἀγαθόν, καὶ ὅτι ὁ τοῦ ἀφθόνου τούτου ἀγαθοῦ κάτοχος καλεῖ πάντας τοὺς ἐνδεεῖς ἐντρυφῆσαι ἐν αὐτῷ. Ὀργίζεται κατὰ τῶν παραιτουμένων τῆς χάριτος, ἐπὶ προτιμήσει ἀπατηλῶν τινων ἀγαθῶν, καὶ ἀποκλείει αὐτοὺς διὰ παντός· ἀλλὰ καὶ βούλεται ἀμεταθέτως γεμισθῆναι τὸν οἶκον συνδαιτυμόνων, οὓς ἀθροίζουσιν οἱ δοῦλοι πανταχόθεν χρώμενοι καὶ τῇ ἀνάγκῃ, τῆς πειθοῦς ὅμως, καὶ οὐχὶ τῆς βίας καὶ δυναστείας, ὡς νοοῦσι καὶ πράττουσιν οἱ παραχαράκται τῆς ἀληθείας, οἱ δουλεύοντες οὐχὶ τῷ Χριστῷ, ἀλλὰ τῇ ἑαυτῶν κοιλίᾳ. Ὁ νόμος οὗτος τῆς ἐνεργείας τοῦ ἀγαθοῦ ἐςιν ὁ οὐσιώδης νόμος τῆς ἐνεργείας τοῦ Δημιουργοῦ, ἐν ᾧ εὑρήσεις τὸν ἀποχρῶντα λόγον τῆς ἐνσάρκου οἰκονομίας. Ὁ γὰρ Κύριος καὶ Θεός, γεννήτωρ καὶ κάτοχος τοῦ αἰωνίου ἀγαθοῦ καὶ μόνος μακάριος, παραβάλλων ἑαυτὸν πρὸς ἡμᾶς τοὺς ἐνδείᾳ καὶ πονηρίᾳ καταδαπανωμένους, ᾤκτειρε καὶ ἠλέησε, καὶ ἐδωρήσατο ἡμῖν τὸ δώρημα τὸ τέλειον, ἵνα ποιήσῃ καὶ ἡμᾶς τελείους καὶ μακαρίους καὶ αἰωνίους

SISMANOGLIO MEGARO

ὡς ἑαυτόν, ὅτι ὁ νομοθετῶν ἀγαπήσεις τὸν πλησίον σου ὡς ἑαυτόν, πρῶτος τηρεῖ ὃν τοῖς ἄλλοις νενομοθέτηκε νόμον. Διὸ καὶ ἡμεῖς, τὴν αὐτὴν ἐκείνῳ ἕφεσιν κτησάμενοι, κατὰ τὸν αὐτὸν καὶ ἐνεργοῦμεν νόμον, πειρώμενοι παντὶ σθένει τοὺς πονηροὺς καὶ ἐνδεεῖς πλουτίσαι καὶ ἀγαθοὺς ποιῆσαι ἐν Χριστῷ. Ἀγαπῶμεν τοίνυν τοὺς ἐχθροὺς ἡμῶν, καὶ εὐχόμεθα ὑπὲρ αὐτῶν· λοιδορούμενοι εὐλογοῦμεν, διωκόμενοι ἀνεχόμεθα, βλασφημούμενοι παρακαλοῦμεν, καὶ εἴ τι ἄλλο δεινὸν ἑκουσίως πάσχομεν ὑπὲρ τῆς ἐκείνων σωτηρίας.

Δέδεικται τοίνυν ἐναργῶς ὅτι ὁ ἐπὶ ἀνεφίκτῳ τελειότητι διαβληθεὶς Εὐαγγελικὸς νόμος, φύσει ἀνάρμοστος καὶ ἀτέλεστος ἐν τῇ Πονηρουπόλει, ἐν τῇ Ἀγαθουπόλει ὅμως ἐκτελεῖται κατ᾽ ἀναπόφευκτον ἀνάγκην. Καὶ ὥςπερ ἐν ἐκείνῃ ἀδύνατος ἡ δικαιοσύνη, οὕτως ἐν ταύτῃ ἀδύνατος ἡ ἀδικία. Καὶ ἐν τούτῳ ἐπαινῶ πάλιν Πλάτωνα, ὅτι συνετῶς κατενόησε τὸ ἀδύνατον τῆς δικαιοσύνης χωρὶς τοῦ ἀγαθοῦ. Ἐν γὰρ τῷ ἕκτῳ βιβλίῳ τῆς πολιτείας ἐρωτῶντος τοῦ Γλαύκωνος «Οὐ γὰρ ταῦτα μέγιστα ἀλλ᾽ ἔτι τι μεῖζον δικαιοσύνης, καὶ ὧν διεληλύθημεν; Ἀποκρίνεται Σωκράτης παρακατιόν, Ὅτι γε ἡ τοῦ ἀγαθοῦ ἰδέα μέγιστον μάθημα πολλάκις ἀκήκοας, ᾗ καὶ δίκαια καὶ τἄλλα προσχρησάμενα χρήσιμα καὶ ὠφέλιμα γίνεται.... ἄνευ δὲ ταύτης, εἰ ὅτι μάλιστα τἄλλα ἐπισταίμεθα, οἶσθ᾽ ὅτι οὐδὲν ἡμῖν ὄφελος, ὥσπερ οὐδ᾽ εἰ κεκτήμεθά τι ἄνευ τοῦ ἀγαθοῦ».

Λείπεται ἔτι ἡ πλήρωσις τῆς ἐσχάτης χρείας παντὸς ἀνθρώπου, τουτέστιν, ἡ πλήρωσις τῶν σωματικῶν ἀναγκῶν. Ἀλλ᾽ ἐν κοινωνίᾳ πολιτευομένῃ κατὰ τὸν νόμον, Παντὶ τῷ αἰτοῦντί σε δίδου, οὐδεὶς ἔσται ἐνδεὴς

SISMANOGLIO MEGARO



τῶν τοῦ σώματος χρειωδῶν. Ἕκαστος γὰρ τὸ ἑαυτοῦ περίσσευμα δώσει πρὸς τὸ τοῦ ἑτέρου ὑστέρημα, καὶ οὐ κρύψει παρ᾽ ἑαυτῷ τὸ ἑαυτοῦ ἀργύριον, εἰδὼς ὅτι τοῦτο οὐκ ἀγαθόν. Πάντες ἄρα ἕξουσιν ἐν ἀφθονίᾳ καὶ τὰ χρειώδη τοῦ σώματος. Ἐπειδὴ δὲ ἡ ψυχὴ ἑκάστου ἐντρυφᾷ ἐν τῷ ὄντι ἀγαθῷ, τυγχάνει ἀδιάφορος καὶ ψυχρὰ πρὸς τὰς ἡδονὰς τοῦ σώματος, καὶ προνοήσει μόνον ὑπὲρ τῆς ἀπολύτου αὐτοῦ ἀνάγκης. Ὥςτε τὰ μέλη τῆς ἐν Χριστῷ κοινωνίας οὐ μόνον ἔχουσιν ἐν ἀφθονίᾳ καὶ τὰ τοῦ σώματος, ἀλλὰ καὶ χρῶνται τούτοις μετρίως καὶ ἀναλόγως μὴ δυνάμενοι ἐκπεσεῖν εἰς κατάχρησιν διὰ τὸ πληροῦσθαι τὴν ἀκόρεστον τῆς ψυχῆς ἐπιθυμίαν ἐν τῷ ὄντι ἀγαθῷ. Ζητεῖτε πρῶτον τὴν βασιλείαν τοῦ Θεοῦ καὶ τὴν δικαιοσύνην αὐτοῦ καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν, ἐπαγγέλλεται ἡ ἀψευδὴς ἀλήθεια. Θῶμεν ἤδη παρ᾽ ἀλλήλας τὰς ἐναντίας φύσεις τῶν ἐναντίων κοινωνιῶν, ἵνα ἴδωμεν ἅμα σκότος καὶ φῶς, καὶ διακρίνωμεν ἐπιστημόνως ἀνὰ μέσον ἀγαθοῦ καὶ κακοῦ.

Κοινωνία συνισταμένη ἐν δοκοῦσι καὶ ἀνεπαρκέσιν ἀγαθοῖς ἔσται κατ᾽ ἀνάγκην ἄνισος ἑαυτῇ, πολεμία καὶ στασιάζουσα, πολιτευομένη τῷ νόμῳ τοῦ φθόνου καὶ τῆς ἐπάρσεως, τυραννικὴ ἢ ἀναρχική, μεστὴ ὀδύνης καὶ θλίψεως, ἕως ἂν θάνατον οἰκτρὸν καὶ πότμον ἐπίσπῃ. Κοινωνία δὲ συνισταμένη ἐν τῷ ὄντι καὶ αὐτάρκει ἀγαθῷ ἔσται κατ᾽ ἀνάγκην ἴση, ὅτι πάντες μετέχουσι τοῦ κοινοῦ ἀγαθοῦ, καὶ πάντες πληροῦσι μέχρι κόρου πάσας τὰς ἑαυτῶν χρείας. Ἰσότητος δὲ ἡγουμένης, τί τῶν καλῶν οὐχ ἕψεται; Ἔσται φίλη καὶ εἰρηνική, μὴ ὑπάρχοντος πλουσίου καὶ πένητος, δεσπότου καὶ δούλου, εὐγενοῦς καὶ ἀγενοῦς, τῷ νόμῳ τῆς ἀγάπης καὶ τῆς ταπεινώσεως

πολιτευομένη, οὐδενὸς δυναμένου ἐπαίρεσθαι καὶ φυσιοῦσθαι κατὰ τοῦ ἑτέρου, ἴσων ὄντων πάντων ἐν ἴσῳ ἀγαθῷ, βασιλικὴ καὶ ἐλευθέρα, ἔχουσα βασιλέα αἰώνιον καὶ ἀκατάλυτον, καὶ πάντων ἐνεργούντων καθ' ἕνα τέλειον νόμον ἀκριβῶς τηρούμενον ὑπό τε ἄρχοντος καὶ ἀρχομένων. Ὁ ἀτομικός τε καὶ κοινωνικὸς πόλεμος, ἡ ἀλληλομαχία καὶ ἀλληλοκτονία ἦσαν κακὰ ἀναγκαῖα ἐπὶ τῆς παλαιᾶς ἀνθρωπότητος. Ἡ παλαιὰ ἀνθρωπότης διαιρουμένη εἰς ἔθνη ἑτερόγλωσσα, καὶ ἑτερόφυλα νομιζόμενα, οὐκ ἠδύνατο φύσει μίαν μόνην ἀποτελέσαι κοινωνίαν· ἀλλ' ἦν ἀναγκαίως διῃρημένη εἰς πολλὰς κατὰ τόπους ἰδίας κοινωνίας. Ἕκαστον ἔθνος ἐθεώρει τὰ ἄλλα πρὸς ἑαυτὸ ἑτερογενῆ καὶ ἑτερόφυλα ἔχοντα ἀντίθετον συμφέρον, καὶ πάντα διέκειντο πρὸς ἄλληλα ἐχθρικῶς καὶ ἐπιβούλως, καὶ κατελίμπανον τοῖς ἀπογόνοις αὐτῶν τὴν ἔχθραν καὶ τὸ μῖσος ἀσπαστὴν κληρονομίαν· ἄμεσος ἄρα συνέπεια τῆς συνυπάρξεως τοιούτων κοινωνιῶν ἦν ὁ πόλεμος, καὶ ἡ καταδυναστεία τοῦ ἰσχυροτέρου ἐπὶ τοῦ ἀσθενεστέρου, οὗ τινος οὐδόλως ἐφείδετο θεωρῶν αὐτὸν ἀλλότριόν τε καὶ ἑτερογενῆ. Τὸ πρῶτον ἄρα μέλημα τοῦ ἄρχοντος τῆς κοινωνίας ὤφειλεν εἶναι ὁ πόλεμος, καὶ ὁ ἐν πολέμοις εὐδοκιμῶν τὸ ἔξοχον τῆς κοινωνίας μέλος. Ἀλλ' ἡ ἀνθρωπότης τῆς παλιγγενεσίας ἐν ἑνὶ ἀγαθῷ, ἐν ἑνὶ συμφέροντι, μία ποίμνη ἐν ἑνὶ ποιμένι, ὁμογενὴς καὶ ὁμόφυλος, ἀποκλείουσα τὴν πληθὺν καὶ τὰς διαιρέσεις οἷα τά, Ἕλλην, Σκύθης, βάρβαρος, Ἰουδαῖος, καὶ τὰ ὅμοια, Ἐν γὰρ Χριστῷ Ἰησοῦ οὐκ ἔνι Ἰουδαῖος οὐδὲ Ἕλλην, βάρβαρος ἢ Σκύθης, δοῦλος καὶ ἐλεύθερος, ἄρσεν καὶ θῆλυ· πάντες γὰρ ὑμεῖς εἷς ἐςὲ ἐν Χριστῷ, ἡ ἀνθρωπότης λέγω τῆς παλιγγενεσίας οὐ μὴ μάθῃ ἔτι πολεμεῖν, ἀλλ' ὡς

SISMANOGLIO MEGARO



γέγραπται ἐν βίβλῳ λόγων Ἠσαΐου τοῦ προφήτου, « Συγκόψουσι τὰς μαχαίρας αὐτῶν εἰς ἄροτρα καὶ τὰς ζιβύνας αὐτῶν εἰς δρέπανα, καὶ οὐ λήψεται ἔθνος ἐπὶ ἔθνος μάχαιραν, καὶ οὐ μὴ μάθωσιν ἔτι πολεμεῖν ». Τὸ πρῶτον ἄρα μέλημα τοῦ ἄρχοντος αὐτῆς ἔσται ἡ κατὰ Χριστὸν εἰρήνη, καὶ ὁ εἰρηνοποιὸς τὸ ἔξοχον τῆς κοινωνίας μέλος. Μακάριοι οἱ εἰρηνοποιοί, ὅτι αὐτοὶ υἱοὶ Θεοῦ κληθήσονται.

Ἀλλὰ καὶ ἐν αὐτῇ τῇ μερικῇ κοινωνίᾳ οὐχ ἧττον ἢ ἐν τῇ καθόλου ἕτεραι διακρίσεις ἄτοποι διαιροῦσιν αὐτὴν εἰς μερίδας φύσει ἀντιθέτους καὶ πολεμίους. Οἱ εὐγενεῖς καὶ οἱ ἀγενεῖς, οἱ πλούσιοι καὶ οἱ πένητες, οἱ ἐλεύθεροι καὶ οἱ δοῦλοί εἰσι τάξεις ἀνθρώπων φύσει ἀλλήλας ἀπεχθανόμεναι, ἀνάγκῃ τινὶ μόνον ἀνεχόμεναι ἀλλήλων, αἱ μὲν ἐπηρμέναι καὶ ὑπερήφανοι, αἱ δὲ φθονεραὶ καὶ ἐπίβουλοι. Αὕτη δὲ ἡ διαίρεσις καὶ διαμάχη κατέρχεται καὶ ἐν τῇ αὐτῇ οἰκίᾳ μέχρι καὶ αὐτοῦ τοῦ ἀτόμου. Καὶ ἕκαστος ἄνθρωπός ἐςι διῃρημένος καὶ ἀσύμφωνος ἑαυτῷ, πολλάκις ἕνεκα τούτου καὶ εἰς αὐτοχειρίασιν ἐξοκέλλων, ὥςτε σοφῶς ὁ σοφὸς ἀπήντησεν πρὸς τὸν ἐρωτήσαντα, τί ἐςι πολέμιον ἀνθρώποις; αὐτοί, ἔφη, ἑαυτοῖς· ἀλλ' ἡ κατὰ Χριστὸν κοινωνία εἰς οὐδὲν τῶν κακῶν τούτων ἐπιτρέπει τὴν εἴσοδον. Πάντες γὰρ μετέχοντες τοῦ σώματος καὶ αἵματος τοῦ Κυρίου, ὅθεν καὶ ὁποῖοι ἂν ὦσι, κατὰ τὸν νόμον τῆς ἐξομοιώσεως μεταποιοῦνται εἰς αὐτὸ τὸ σῶμα τοῦ Χριστοῦ, καὶ πάντες ἓν ἔχομεν καύχημα εὐγενείας, ὅτι κυκλοφορεῖ εἰς τὰς φλέβας ἡμῶν τὸ ἁγνὸν ἐκεῖνο καὶ εὐγενέστατον αἷμα τοῦ ἀμώμου ἀμνοῦ. Πάντες ἄρα ἀδελφοὶ Χριστοῦ, καὶ υἱοὶ Θεοῦ, ἕνα πατέρα ἔχομεν τὸν Πατέρα τοῦ Κυρίου, καὶ μίαν μητέρα, αὐτὴν τὴν Μητέρα τοῦ Κυρίου, τὴν κεχαριτωμένην

Μαριάμ. Ὁ Κύριος οὐκ ἐπαισχύνεται ἀδελφοὺς ἡμᾶς καλεῖν λέγων, ἀπαγγελῶ τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μου, ἐν μέσῳ Ἐκκλησίας ὑμνήσω σε. Καὶ πάλιν· Πορεύου δὲ πρὸς τοὺς ἀδελφούς μου καὶ εἰπὲ αὐτοῖς, ἀναβαίνω πρὸς τὸν Πατέρα μου καὶ Πατέρα ὑμῶν, καὶ Θεόν μου καὶ Θεὸν ὑμῶν. Ἐπὶ τοῦ Σταυροῦ δὲ κρεμάμενος εἶπε τῇ μητρί, γύναι, Ἰδοὺ ὁ υἱός σου, δεικνὺς τὸν ἠγαπημένον Ἰωάννην, εἶτα λέγει τῷ μαθητῇ, Ἰδοὺ ἡ μήτηρ σου. Πάντων λοιπὸν εὐγενεστάτων ὄντων κατὰ τὴν τελειοτάτην εὐγένειαν, πάντων ἐχόντων ἕνα πατέρα, καὶ τοιοῦτον πατέρα, μίαν μητέρα, καὶ τοιαύτην μητέρα, πάντες ἀδελφοὶ ἐν ἑνὶ πρωτοτόκῳ ἀδελφῷ, πῶς οὐ δῆλον, ὅτι ἐν τῇ χριστιανικῇ κοινωνίᾳ φύσει ἀδύνατος ἀποβαίνει ἡ διάκρισις τῆς εὐγενείας καὶ ἀγενείας, καὶ πᾶσα ἡ σὺν αὐτῇ παρομαρτοῦσα ἀτοπία; Τίς ποτε Χριστιανὸς εἰδὼς τὴν κατὰ Χριστὸν ἄκραν συγγένειαν τολμήσει ποτὲ ὀνειδίσαι Χριστιανὸν ἐπὶ ἀγενείᾳ, καὶ ἀξιώσει ἑαυτὸν προνομίων ἐν τῇ κοινωνίᾳ; Ἀλλὰ τῆς τοιαύτης συγγενείας τὸ φιλάλληλόν τε καὶ μεταδοτικὸν ἔσται προσὸν ἀχώριστον· φιλαλληλίας δὲ καὶ μεταδόσεως ἑνούσης ἐν τῇ κοινωνίᾳ, δῆλον ὅτι οὐκ ἔσται οὔτε πλούσιος οὔτε πένης, οὔτε ἀνώτερος οὔτε κατώτερος, ἀλλ' ἔσται ἐν πᾶσι κατὰ πάντα ἰσότης πράγματι, καὶ οὐχὶ ὀνόματι. Λέγω ἤδη ἐν παρόδῳ, ὅτι παρ' ἡμῖν τοῖς χριστιανοῖς τὸ μυστήριον τῆς εὐχαριστίας καλεῖται ἰδίως καὶ κοινωνία, διότι αὐτὸ κυρίως συνιστᾷ τὴν ἐπὶ γῆς ἀνθρώπινον ἐν Χριστῷ κοινωνίαν. Τούτου ἀρθέντος, πάντα συγκαταπίπτουσι, καὶ ἐπ' αὐτοῦ τὰ πάντα ἑδράζονται. Διὸ καὶ ἀπ' ἀρχῆς αἱ πύλαι τοῦ ᾅδου ποικιλοτρόπως κατ' αὐτοῦ παρετάχθησαν, ἀλλ' οὐ-

SISMANOGLIO MEGARO



δὲν ἴσχυσαν, οὐδὲ ἰσχύσουσι. Καὶ γινωσκέτω πᾶς χριστιανός, ὅτι ὃν λόγον ἔχει ἡ καρδία καὶ τὸ αἷμα πρὸς τὴν ζωὴν τοῦ σώματος, τὸν αὐτὸν λόγον ἔχει καὶ τὸ μυστήριον τῆς ἁγίας κοινωνίας πρὸς τὴν ζωὴν τοῦ χριστιανικοῦ πληρώματος. Καὶ θωρακιζέσθω ἕκαστος ὑπὲρ αὐτοῦ, ὥσπερ ὑπὲρ τῆς ἰδίας ζωῆς καὶ καρδίας. Μιᾶς δὲ οὔσης τῆς κοινωνίας ἐν Χριστῷ, οὐδαμοῦ χώραν ἐχούσης τῆς διαιρέσεως, καὶ ἕκαστος εὑρεθήσεται εἷς, φίλος ἑαυτῷ καὶ οὐχὶ πολέμιος. Ἡ γὰρ εἰρήνη τοῦ Θεοῦ ἡ ὑπερέχουσα πάντα νοῦν φρουρεῖ τὰς καρδίας ἡμῶν καὶ τὰ νοήματα ἡμῶν, ὅτι ὁ Θεὸς εὐλογεῖ τὸν λαὸν αὐτοῦ ἐν εἰρήνῃ, εἰρήνη ὑμῖν, εἰρήνην τὴν ἐμὴν δίδωμι ὑμῖν, οὐ καθὼς ὁ κόσμος δίδωσιν, ἐγὼ δίδωμι ὑμῖν. Πῶς ἐφάνη προηγουμένως ἡ ἐπὶ γῆς χωρὶς Χριστοῦ βιώσασα ἀνθρωπότης; Ἐνδείᾳ κατατρυχομένη, βασκανίᾳ καὶ φθόνῳ κατατηκομένη, ἐπάρσει κρημνιζομένη, συγκεχυμένη καὶ ἐσκοτισμένη, ἀλληλομαχουμένη καὶ ἀλληλοκτονουμένη, εἰς χαμερπῆ σαρκὸς πάθη, δίκην συῶν, ἐξευτελιζομένη, γεγυμνωμένη καὶ καταπεπληγωμένη ἀπὸ κεφαλῆς μέχρι ποδῶν, οἰκτρὸν θέαμα ἰδέσθαι. Πῶς δὲ ἤδη φαίνεται ἡ ἐν Χριστῷ ἀναγεννηθεῖσα καὶ ἀναπλασθεῖσα ἀνθρωπότης; Αὐταρκείᾳ ἀναπαυομένη, φιλαλληλίᾳ καὶ ἀγάπῃ εἰς ἀδιαίρετον ἑνότητα συνεσφιγμένη, οἷόν τις φάλαγξ Μακεδονική, ἐπὶ λίθου ἀκρογωνιαίου, ἐκλεκτοῦ καὶ ἐντίμου ἐστερεωμένη, ἐν τῷ φωτὶ τοῦ ἡλίου τῆς δικαιοσύνης πορευομένη, μὴ προσκόπτουσα μηδὲ συγκρουομένη, ἰσότητι καὶ ἀναλογίᾳ κεκοσμημένη, πλουσία τῷ τε πνεύματι τῷ τε σώματι, πλήρης χάριτος καὶ ἀληθείας, ναὸς Θεοῦ ζῶντος, καθὼς εἶπεν ἡ Γραφή, ἔνθα ἀπέδρα ὀδύνη, λύπη καὶ στεναγμός, εἰς ἣν ἐπιθυμοῦσι καὶ ἄγγελοι παρακύψαι.

Καὶ τίς ἀνέραστος ἔσται τοῦ θεοπρεποῦς αὐτῆς κάλλους; Τίς δὲ ἀνέξεται μεῖναι τῶν πυλῶν αὐτῆς ἔξω; Τοιαύτη ἡ φύσις τῆς Ἀγαθουπόλεως, καλὴ λίαν, αἰνετὴ λίαν, μὴ ἔχουσα μῶμον ἢ ῥυτίδα ἤ τι τῶν τοιούτων, νύμφη ἁγνὴ καὶ πάγκαλος, ἀξία τοῦ ἑαυτῆς νυμφίου. Νῦν δὲ ἀναμνησθέντες ἣν ἀνωτέρω ἐποιήσαμεν διάκρισιν τῆς οὐρανίας Σιὼν καὶ τῆς ἐπὶ γῆς ἁγίας Ἐκκλησίας, λόγον ἐργοστασίου ἐχούσης πρὸς ἐκείνην, ἴδωμεν ἤδη τὸν μηχανισμὸν αὐτῆς, τὰ μέρη ἐξ ὧν σύγκειται, τὰ προσόντα ἑκάστου, καὶ τὴν ἐναρμόνιον αὐτῆς διεξαγωγήν, προοιμιαζόμενοι ἐκ τῶνδε τῶν λόγων τοῦ Ἀποστόλου Παύλου.

« Καὶ αὐτὸς ἔδωκε τοὺς μὲν Ἀποστόλους, τοὺς δὲ » προφήτας, τοὺς δὲ εὐαγγελιστάς, τοὺς δὲ ποιμένας καὶ » διδασκάλους, πρὸς τὸν καταρτισμὸν τῶν ἁγίων, εἰς ἔρ- » γον διακονίας, εἰς οἰκοδομὴν τοῦ σώματος τοῦ Χριστοῦ, » μέχρι καταντήσωμεν οἱ πάντες εἰς τὴν ἑνότητα τῆς πί- » στεως καὶ τῆς ἐπιγνώσεως τοῦ Υἱοῦ τοῦ Θεοῦ, εἰς ἄνδρα » τέλειον, εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ ».

Ὁ ἄνθρωπος ἐν τῷδε τῷ βίῳ γεννώμενος καὶ αὐξανόμενος ἐν κοινωνίᾳ, ἕως ἂν φθάσῃ εἰς μέτρον ἡλικίας ὡρισμένον, διαμένει, οὕτως εἰπεῖν, ἔξω τῆς κοινωνίας καταρτιζόμενος καὶ προσκτῶν τὰ ἀπαιτούμενα προσόντα τοῦ ἐνεργητικοῦ τῆς κοινωνίας μέλους. Ἐχούσης δὲ τῆς κοινωνίας πληθὺν τάξεων καὶ βαθμῶν, δῆλον ὅτι ἕκαστος ἀναλόγως ἧς ἔτυχε παιδεύσεως, καὶ ὧν ἐκτήσατο προσόντων, τοιαύτην καὶ καταλαμβάνει θέσιν ἐν τῇ κοινωνίᾳ. Τὰ σχολεῖα, τὰ γυμνάσια, τὰ πανεπιστήμια, καὶ εἴ τι τοιοῦτον, εἰσίν, οὕτως εἰπεῖν, ἐργοστάσια κατεργαζόμενα τοὺς μέλλοντας γενέσθαι κοινωνικούς. Καὶ πᾶς τις εὖ γινώσκει, ὅσον ταῦτά εἰσιν ἀναγκαῖα τῇ κοινωνίᾳ, καὶ οἵᾳ ἀναλογίᾳ βαίνουσι πρὸς ταύτην. Ὃν δὲ λόγον ἔχει ἡ παιδικὴ



πρὸς τὴν ἀνδρικὴν ἡλικίαν, τά τε σχολεῖα καὶ γυμνάσια πρὸς τὴν κοινωνίαν, τὸν αὐτὸν λόγον ἔχει καὶ ὁ παρὼν αἰὼν πρὸς τὸν μέλλοντα, καὶ ἡ ἐπίγειος Ἐκκλησία πρὸς τὴν οὐράνιον Ἱερουσαλήμ. Ἡ Ἐκκλησία τοῦ Χριστοῦ ἐνταῦθά ἐστιν ἐργοστάσιον, σχολεῖον, πρὸς καταρτισμὸν τῶν ἁγίων, εἰς ἔργον διακονίας, εἰς οἰκοδομὴν τοῦ σώματος τοῦ Χριστοῦ, τουτέστιν, ἵνα κατεργάζηται καὶ παρασκευάζῃ τοὺς μέλλοντας πολίτας τῆς κλυτῆς πόλεως Σιών. Ὑφ' ἑτέραν δὲ ἔποψιν, ὡς δεχομένη τοὺς ἐν τοῖς τοῦ κόσμου κακοῖς δεινοπαθοῦντας, καὶ ἰωμένη αὐτῶν τὰ τραύματα, καλεῖται καὶ ἰατρεῖον. Ὅθεν πάντα βαίνουσιν ἐν αὐτῇ ἀναλόγως τῶν εἰκόνων, αἷς ὡμοιώθη.

Εἰσελθών τις εἰς ἐργοστάσιον λιθουργικὸν ὄψεται ἐργάτας ἐργαζομένους, καὶ τῶν λίθων τοὺς μὲν ἐντελῶς κατειργασμένους καὶ ἀγοραστοῦ χρήζοντας, τοὺς δὲ ἡμικατειργασμένους, τοὺς δὲ πάντη ἀκατεργάστους, οὕτω κειμένους, οὔπω ὑπὸ χεῖρα τεχνίτου ὑπεισελθόντας. Ἔτι ὄψεται τοὺς ἐργάτας, τοὺς μὲν τῶν λίθων ἀποδοκιμάζοντας, τοὺς δὲ ἐπιδοκιμάζοντας, καὶ ἐνίοτε τὸν λίθον ὅτι διεῤῥάγη ὑπὸ τὴν κατεργαζομένην αὐτὸν χεῖρα, καὶ εἴ τι ἄλλο ἡ ὀξυδέρκεια εἰσορᾷ. Εἰσελθὼν δὲ εἰς Μουσῶν ἐργαστήριον ὄψεται διδάσκοντας καὶ διδασκομένους εἰς διαφόρους τάξεις διατεταγμένους, τοὺς μὲν ἐγγὺς ἀπολύσεως γενομένους, τοὺς δὲ ἄρτι εἰσελθόντας, τοὺς δὲ μεταξὺ τῶν πρώτων καὶ τῶν ἐσχάτων, καὶ τὰ τούτοις παρομαρτοῦντα. Εἰσελθὼν δὲ εἰς ἰατρεῖον ὄψεται θεραπεύοντας καὶ θεραπευομένους, τοὺς μὲν ἰασίμους, τοὺς δὲ καὶ ἀνιάτως ἔχοντας, καὶ τὰ τούτοις ἑπόμενα. Ὅμοιον πρὸς ταῦτα θέαμα θεώμεθα καὶ ἐν τῇ ἐπιγείῳ τοῦ Χριστοῦ Ἐκκλησίᾳ. Καὶ ἐν αὐτῇ εἰσιν ἐργάται, διδάσκαλοι καὶ ἰατροὶ ἐκεῖνοι, οὓς ὁ Κύριος ἔθετο τοὺς μὲν Ἀποστόλους, τοὺς

δὲ προφήτας, τοὺς δὲ εὐαγγελιστάς, τοὺς δὲ ποιμένας καὶ διδασκάλους· λίθοι δὲ κατεργαζόμενοι καὶ μαθηταὶ διδασκόμενοι καὶ ἀσθενεῖς θεραπευόμενοι, ὅσοι ὁδεύοντες εἰς τὰς ὁδοὺς καὶ φραγμοὺς καλοῦνται ὑπὸ τῶν δούλων τοῦ Κυρίου εἰσελθεῖν εἰς τὸ μέγα δεῖπνον, ἵνα γεμισθῇ ὁ οἶκος. Διαιροῦντες τοίνυν τὴν Ἐκκλησίαν εἰς ἐργάτας καὶ ἐργάσιμον ὕλην, εἰς διδασκάλους καὶ μαθητάς, εἰς ποιμαίνοντας καὶ ποιμαινομένους, διορίσωμεν τὰ προσόντα ἑκατέρων, τά τε ἀμοιβαῖα καθήκοντα καὶ δικαιώματα, καὶ εἴ τι ἄξιον λόγου.

Πᾶς ἐργάτης ἔχει ἐπιστήμην ἐκείνου πρὸς ὃ ἐργάζεται· τουτέστι, πᾶς ἐργάτης παραλαμβάνων ὕλην ἀκατέργαστον καὶ τῇ τέχνῃ προσήκουσαν διαμορφοῖ αὐτὴν καθ' ὃν ἔχει ἐν τῇ διανοίᾳ τύπον, καὶ ἀδύνατον ἐργασθῆναι τὸν ἐργάτην τὴν ἄμορφον ὕλην μὴ ἔχοντα κατὰ διάνοιαν τὸν τύπον καὶ τὸ παράδειγμα τῆς ἐργασίας. Πρῶτον ἄρα προσὸν τοῦ ἐπισκόπου τῆς Ἐκκλησίας ἐστὶν ἡ ἐπίγνωσις τοῦ Χριστοῦ, πρὸς ὃν ἀφορῶν καταρτίσει τὰς ἐμπιστευθείσας αὐτῷ ψυχὰς συμμόρφους τῆς εἰκόνος αὐτοῦ. Ὁ Χριστός ἐστιν ὁ τέλειος ἄνθρωπος. Ἄρα πᾶς ἄνθρωπος ἀτελὴς μεταβαίνων εἰς τὴν τελειότητα μορφωθήσεται κατὰ τὸν ἄμωμον αὐτοῦ τύπον, κατὰ τὸ τέλειον τοῦτο παράδειγμα, διακείμενος πρὸς τὸν ἐπίσκοπον, ὡς πηλὸς ἐν χερσὶ τοῦ κεραμέως, ἢ ὡς λίθος ἐν χερσὶ λιθοξόου. Ἀλλὰ καὶ πᾶς διδάσκαλος ὁμολογουμένως ὀφείλει ἔχειν ἐπιστήμην ἐκείνου, ὃ διδάσκει, καὶ οὐδὲν ἀτοπώτερον ἢ ἀναγορεύειν διδάσκαλον γεωμετρίας τὸν ἀγνοοῦντα γεωμετρεῖν, ἢ διδάσκειν τινὰ ὃ οὐκ οἶδε, οὐδὲ ἐπίσταται, ἢ λέγεσθαι μόνον καὶ τιμᾶσθαι ὡς διδάσκαλον τὸν μὴ διδάσκοντα. Ὁ ἐπίσκοπος ἄρα ἔργον ἔχων τοῦ σώζειν ψυχὰς τῇ διδασκαλίᾳ καὶ τῇ φανερώσει τῆς *ἀλη-*



*θείας*, ὀφείλει αὐτὸς ἐπιγινώσκειν τὴν *ἀλήθειαν*, σεσωσμένος ὤν, καὶ μὴ δεόμενος σωτηρίας. Καθ' ὃ δὲ καὶ ἰατρὸς ὁ ἐπίσκοπος, οὐχ ἧττον ὀφείλει διαγινώσκειν πάσας τὰς ψυχικὰς ἀσθενείας, καὶ τὰ εἰς ἑκάστην ἀντιστοιχοῦντα φάρμακα, καὶ τὴν ἀνάλογον αὐτῶν πρὸς τὰς ἀσθενείας χρῆσιν. Καθ' ὃ δὲ καὶ ποιμήν, οὐ μόνον ὀφείλει γινώσκειν τοὺς τόπους τῆς χλόης, καὶ τὰς πηγὰς τῶν ὑδάτων, ἐν οἷς ἄγων ἐκθρέψει τὸ ποίμνιον, ἀλλὰ καὶ ἔμπειρον εἶναι τῆς πρὸς τοὺς λῃστὰς καὶ τοὺς λύκους μάχης, καὶ μὴ ἀγνοεῖν τὰ νοήματα τοῦ Σατανᾶ, ὅστις, κατὰ τὸν ἀπόστολον Πέτρον, *ὡς λέων ὠρυόμενος περιπατεῖ ζητῶν τίνα καταπίῃ*. Πάντες ἄρα οἱ ἐπίσκοποι τὴν αὐτὴν ἔχοντες ἐπιστήμην, καὶ πρὸς τὸ αὐτὸ παράδειγμα ἐργαζόμενοι, ἴσοι εἰσὶν ἀλλήλοις, καὶ ἀπ' ἀλλήλων ἀνεξάρτητοι, ἐν μιᾷ κεφαλῇ ἓν ὄντες· καὶ ὢ τοῦ θαύματος! *Ἰσότης, ἀνεξαρτησία καὶ δεσμός, τὰ τρία ταῦτα*, οὕτω συνημμένα καὶ ἀχώριστά εἰσιν ἐν Χριστῷ! Καὶ πᾶσαι ἄρα αἱ μερικαὶ καὶ κατὰ τόπους Ἐκκλησίαι, ἐν τῇ αὐτῇ διδασκαλίᾳ, ἐν τῷ αὐτῷ νόμῳ, ἐν τῇ αὐτῇ κεφαλῇ, μίαν μόνην Ἐκκλησίαν ἀποτελοῦσι φύσει ἀδιαίρετον καὶ ἀχώριστον. Οὐκ ἔστιν ἄρα ἐπίσκοπος ἐπισκόπου μείζων, καὶ ἐκκλησία ἐκκλησίας, καὶ οἱ ταῦτα λέγοντες μερίζουσι τὸν Χριστόν, μὴ ἐπιστάμενοι ἃ λέγουσι, καὶ περὶ τίνων διαβεβαιοῦνται. Τοῦ ἐπισκόπου τοίνυν οὕτως ἔχοντος, ἡ φιλομάθεια καὶ τὸ εὐπειθὲς τοῦ μαθητοῦ, τὸ εὔπλαστον τῆς ὕλης ὑπεικούσης τῷ προβαλλομένῳ τύπῳ, τὸ πρᾶόν τε καὶ χειρόηθες τοῦ προβάτου, τὸ καρτερικὸν τοῦ ἀσθενοῦς, τοιαῦτα πρὸς τὰ ἐκείνου ἀντιστοιχήσουσι προσόντα ἐκ μέρους τῶν ἀρχομένων. Μετὰ τὸν σύντομον, ἀλλ' ἀκριβῆ τοῦτον διορισμὸν τῶν προσόντων τῶν κυρίων τῆς Ἐκκλησίας μερῶν, ἔλθωμεν ἤδη εἰς

τὴν θεωρίαν τῶν ἀμοιβαίων καθηκόντων καὶ δικαιωμάτων.

Καθὼς ἀπέστειλέ με ὁ Πατήρ, κἀγὼ πέμπω ὑμᾶς. Ἡ ταὐτόμεστος αὕτη ἀναλογία ἔσται ἡμῖν ὁ μόνος ἀκριβὴς κανὼν τοῦ διορισμοῦ τῶν καθηκόντων καὶ δικαιωμάτων τῶν ἐπισκόπων, ἅτινά εἰσι τοσοῦτον ἀλληλένδετα καὶ ἀχώριστα, ὥςτε ἢ ἀμφότερα τίθενται, ἢ ἀμφότερα αἴρονται. Καὶ μὴ παραλογιζέσθωσαν οἱ παραλογιζόμενοι, ἀθετοῦντες μὲν ἀδεῶς τὰ ἑαυτῶν καθήκοντα, ἀντεχόμενοι δὲ αὐθαδῶς τῶν ἀντιστοιχούντων ἐκείνοις δικαιωμάτων. Ὁ Πατὴρ πέμπων τὸν Υἱόν, οὐχ ἵνα κρίνῃ, ἀλλ' ἵνα σώσῃ τὸν κόσμον, δέδωκεν αὐτῷ ἐντολήν, τί εἴπῃ καὶ τί λαλήσῃ καὶ τί ποιήσῃ, ὡς γέγραπται· Ὁ Πατὴρ ἐντολήν μοι δέδωκε, τί εἴπω καὶ τί λαλήσω, καὶ καθὼς ἐνετείλατό μοι ὁ Πατήρ, οὕτω ποιῶ. Καὶ ὁ Υἱὸς ἄρα οὕτως ἀπέστειλε τοὺς ἑαυτοῦ μαθητὰς καὶ Ἀποστόλους εἰπών· Πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, διδάσκοντες αὐτοὺς τηρεῖν πάντα, ὅσα ἐνετειλάμην ὑμῖν. Ὁ Κύριος, ὡς πιστὸς ἀπόστολος τῷ Πατρί, ἐδίδαξε καὶ ἐγνώρισε πάντα, ὅσα ἤκουσε παρ' αὐτοῦ, μηδὲ ἰῶτα ἓν προσθεὶς ἢ ἀφελών, ὡς πάλιν γέγραπται· Πάντα ὅσα ἤκουσα παρὰ τοῦ Πατρός μου ἐγνώρισα ὑμῖν. Καὶ ἡ ἐμὴ διδαχὴ οὐκ ἔςιν ἐμή, ἀλλὰ τοῦ πέμψαντός με. Πρῶτον ἄρα καθῆκον τῶν τε Ἀποστόλων τῶν τε διαδόχων αὐτῶν ἔσται διδάξαι καὶ γνωρίσαι πάντα, ὅσα ἤκουσαν παρὰ τοῦ πέμψαντος αὐτούς, μὴ προσθέτοντες μηδὲ ἀφαιροῦντες ἀφ' ἑαυτῶν μηδὲ ἰῶτα ἕν. Ἡ διδασκαλία αὐτῶν ὀφείλει εἶναι ἀκεραία καὶ ἀνόθευτος, ὥστε λέγειν καὶ αὐτούς, ὡς ὁ Χριστός. Ἡ διδαχὴ ἡμῶν οὐκ ἔστιν ἡμῶν· ἀλλὰ τοῦ πέμψαντος ἡμᾶς. Ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός, ὡς πιστὸς ἀπόστολος,

SISMANOGLIO MEGARO



ἐποίει τὸ θέλημα οὐχὶ τὸ ἑαυτοῦ, ἀλλὰ τὸ τοῦ πέμψαντος, ὡς γέγραπται, « Καταβέβηκα ἐκ τοῦ οὐρανοῦ, οὐχ » ἵνα ποιῶ τὸ θέλημα τὸ ἐμόν· ἀλλὰ τὸ θέλημα τοῦ πέμ» ψαντός με Πατρός ». Καθῆκον ἄρα ἔχουσι καὶ οἱ ἐν ὀνόματι Χριστοῦ ἐπίσκοποι καὶ ἀπόστολοι μὴ ποιεῖν τα ἑαυτῶν θελήματα, μηδὲ ἔχειν ἴδιον θέλημα· ἀλλὰ ποιεῖν κατὰ πάντα τὸ θέλημα τοῦ πέμψαντος αὐτοὺς Χριστοῦ, ὅπερ ὀφείλουσιν ἐπιγινώσκειν, καθὼς ἐκεῖνος ἐγίνωσκε τὸ θέλημα τοῦ πέμψαντος αὐτὸν Πατρός. « Καθὼς ἠγά» πησέ με ὁ Πατήρ, κἀγὼ ἠγάπησα ὑμᾶς »· ἀλλ' ἐπιφέρει, « Μείνατε ἐν τῇ ἀγάπῃ τῇ ἐμῇ· ἐὰν τὰς ἐντολάς μου » τηρήσητε, μενεῖτε ἐν τῇ ἀγάπῃ μου, καθὼς ἐγὼ τὰς » ἐντολὰς τοῦ Πατρός μου τετήρηκα, και μένω αὐτοῦ ἐν » τῇ ἀγάπῃ ». Δῆλον ἄρα, ὅτι καθῆκον ἔχουσιν οἱ ἐπίσκοποι πολιτεύεσθαι κατα τὸν τέλειον Εὐαγγελικὸν νόμον τοῦ Χριστοῦ, καὶ καθὼς ὁ Χριστὸς ἔλεγε πρὸς τοὺς Ἰουδαίους, « Τίς ἐξ ὑμῶν ἐλέγχει με περὶ ἁμαρτίας »; οὕτω καὶ οἱ ἐπίσκοποι, διδάσκοντες τοὺς ἄλλους, προβάλλειν ἑαυτοὺς τέλειον ἀρετῆς παράδειγμα. Δύο ἄρα εἰσὶ τὰ οὐσιώδη τῶν ἐπισκόπων καθήκοντα, Α'ον. Διδάσκειν ἀκεραίως τε καὶ ἀνοθεύτως αὐτὴν τὴν διδασκαλίαν τοῦ Χριστοῦ, Β'ον Ποιεῖν τε αὐτοὺς πρώτους ἀκριβῶς τὰ διδασκόμενα. Ἐπὶ τῇ τηρήσει τῶν καθηκόντων τούτων ἕξουσι τὸ δικαίωμα τοῦ δεσμεῖν καὶ λύειν τὰς τῶν ἀνθρώπων ἁμαρτίας, καὶ ἄν τινων ἀφῶσι τὰς ἁμαρτίας, ἀφίενται αὐτοῖς, ἄν τινων κρατῶσι, κεκράτηνται· ἐπὶ τοῖς ὅροις τούτοις ἔχουσι τὸ δικαίωμα ἄρχειν καὶ ἐπιτάσσειν τὰ ἀνήκοντα ἑνὶ ἑκάστῳ ἀπειλητικῶς λέγοντες· ὁ ἀκούων ἡμῶν Χριστοῦ ἀκούει, καὶ ὁ ἀθετῶν ἡμᾶς Χριστὸν ἀθετεῖ, καὶ ἔστιν ὡς ὁ

ἐθνικὸς καὶ ὁ τελώνης. Ἐπὶ τοῖς ὅροις τούτοις ὄντως εἰσὶν ἰσόχριστοι, ἄξιοι τιμᾶσθαι καὶ σέβεσθαι, ὡς ὁ Χριστός· ἐπὶ τοῖς ὅροις τούτοις ἐροῦσιν, ὡς ὁ Παῦλος ἔλεγε· « Μιμηταί ἡμῶν γίνεσθε, καθὼς καὶ ἡμεῖς Χριστοῦ ». Οἱ δὲ πιστοὶ ἓν κυρίως ἔχουσι καθῆκον, πείθεσθαι τοῖς ἡγουμένοις αὐτῶν καὶ ὑπείκειν, αὐτοὶ γὰρ ἀγρυπνοῦσιν ὑπὲρ τῶν ψυχῶν αὐτῶν, ὡς λόγον ἀποδώσοντες. Πρὸς τὸ καθῆκον τοῦτο ἀντιστοιχεῖ τὸ δικαίωμα τοῦ ἐσθίειν τὸν ἄρτον τῆς ζωῆς, δι' οὗ ζήσονται εἰς τὸν αἰῶνα. Οἱ πιστοὶ τῇ γνωστικῇ αὐτῶν δυνάμει μανθάνουσιν ὅσα διδάσκει ὁ ἐπίσκοπος, τῇ δὲ ἐραστικῇ ποιοῦσι τὰ διδασκόμενα, παράδειγμα ἔμψυχον ἔχοντες τὸν ἐπίσκοπον. Ἐπὶ τοῖς ὅροις τούτοις μεταλαμβάνουσι τοῦ ἄρτου τῆς ζωῆς, καὶ μετέχουσι τοῦ ἀγαθοῦ, οὗ μεῖζον οὐκ ἔστιν, καὶ οὗ χωρὶς οὐ δύνανται ποιεῖν οὐδέν. Τοιαύτη δὲ τῶν καθηκόντων τε καὶ δικαιωμάτων ἀμοιβαία τήρησις ποιήσει, τοὺς μὲν ποιμένας οὕτως ἀγαπᾷν τὰ ἑαυτῶν πρόβατα, ὥστε τὰς ψυχὰς αὐτῶν ὑπὲρ αὐτῶν τιθέναι· τοὺς δὲ πιστοὺς παραδοῦναι ἑαυτοὺς καὶ τὰ ἑαυτῶν πάντα εἰς χεῖρας τῶν ἐπισκόπων, συζῶντες ἐν τῇ ἁγίᾳ Ἐκκλησίᾳ, ὡς πατὴρ μετὰ τέκνων νεωτέρων τε καὶ πρεσβυτέρων ἐν οἰκίᾳ μιᾷ. Τοιαύτη ἐναρμόνιος διεξαγωγὴ ἓν ἔχει ἀποτέλεσμα· « Καταντῆσαι τοὺς πάντας εἰς τὴν » ἑνότητα τῆς πίστεως καὶ τῆς ἐπιγνώσεως τοῦ Θεοῦ, » εἰς ἄνδρα τέλειον, εἰς μέτρον ἡλικίας, εἰς οἰκοδομὴν » τοῦ σώματος τοῦ Χριστοῦ ». Ἡ Ἐκκλησία ἄρα κατὰ τὸν διοργανισμὸν αὐτῆς ἐστι πολιτεία ἰσόνομος, ἧς οἱ ἄρχοντες, ἐπειδὰν πρῶτοι τελέσωσι τὸν νόμον, ἐπιβάλλουσι καὶ τοῖς ἀρχομένοις τὴν ἐκτέλεσιν, μιᾷ μόνῃ ποινῇ, καὶ μιᾷ βραβεύσει χρώμενοι, τὴν μέθεξιν τοῦ κοινοῦ ἀγαθοῦ, ἢ τὴν ἀποκοπὴν ἀπὸ τοῦ κοινοῦ ἀγαθοῦ· ἤγουν

SISMANOGLIO MEGARO



κοινωνείτω ἢ ἀφοριζέσθω, καθ' ἃ διακελεύονται ἅπαντες οἱ κανόνες Ἀποστολικοί τε καὶ Συνοδικοί. « Ἐγώ εἰμι ἡ » ἄμπελος ἡ ἀληθινὴ καὶ ὁ Πατήρ μου ὁ γεωργός ἐστι. » Πᾶν κλῆμα ἐν ἐμοὶ μὴ φέρον καρπὸν αἴρει αὐτό, καὶ » πᾶν τὸ καρπὸν φέρον καθαίρει αὐτό, ἵνα πλείονα καρ» πὸν φέρῃ ». Οἱ νόμοι τοῦ φυσικοῦ καὶ τοῦ ἠθικοῦ κόσμου, ἐπειδὴ ἕνα καὶ τὸν αὐτὸν ἔχουσι νομοθέτην, διὰ τοῦτο καὶ βαίνουσιν ἐν θαυμασιωτάτῃ ὁμοιότητι καὶ ἀναλογίᾳ, καὶ ὁ Θεὸς ἐν πᾶσιν, οἷς ἂν ποιῇ, δείκνυται ὁ αὐτός. Ἡμεῖς δὲ σῶμά τε καὶ ψυχὴν συνημμένα ἔχοντες, καὶ οἷον κρᾶμά τι καὶ δεσμὸς τοῦ φυσικοῦ τε καὶ ἠθικοῦ κόσμου τυγχάνοντες, καὶ ἐν ἀμφοτέροις πολῖται, γινώσκειν ὀφείλομεν καὶ πολιτεύεσθαι κατὰ τοὺς κειμένους ἐν ἑκατέροις νόμους. Ὁ δὲ τρόπος καθ' ὃν ἀγόμεθα εἰς τὴν γνῶσιν τῶν νόμων, οὓς ὁ Θεὸς τέθεικεν ἐν τῷ φυσικῷ τε καὶ ἠθικῷ κόσμῳ, ἐστὶν ὅδε· ἀντιλαμβάνεσθαι ταῖς αἰσθήσεσι καὶ διορᾷν ἐν τοῖς ἀντιληπτοῖς φαινομένοις τοὺς τὸν φυσικὸν κόσμον διέποντας νόμους, εἶτα κατὰ παράθεσιν συνιέναι καὶ νοεῖν τὸν ἀνάλογον νοητὸν νόμον τὸν διευθύνοντα τὰ ὅμοια καὶ ἀνάλογα γινόμενα τοῦ ἠθικοῦ. Διὰ ταῦτα ὁ Κύριος καὶ ὁ διδάσκαλος καὶ καθηγητὴς πάντων Χριστός, νομοθέτης ἐν ἑκατέροιν τοῖν κόσμοιν, τῆς τε φύσεως ἡμῶν δημιουργός, ἐχρήσατο ἄριστα τῇ ἀρίστῃ μεθόδῳ διδάξας ἐν παραβολαῖς, ἤγουν, διὰ τῶν φυσικῶν φαινομένων καὶ νόμων ἀνάγων ἡμᾶς εἰς τὴν γνῶσιν τῶν φαινομένων τοῦ ἠθικοῦ κόσμου, καὶ τῶν νόμων τῶν διεπόντων αὐτά. Ἡ παραβολὴ τοῦ σπόρου, τῶν ζιζανίων τοῦ ἀγροῦ, τῆς ἀκάρπου συκῆς, τῆς σαγήνης, τῆς ζύμης, τοῦ κόκκου τοῦ σινάπεως, τοῦ δείπνου, καὶ πλεῖσται ἄλλαι, ἐν αἷς ἠνέωξε τὸ στόμα ἡ Σοφία τοῦ Θεοῦ, καὶ ἠρεύξατο κατὰ τὸν Προφήτην κεκρυμμένα ἀπὸ καταβο-

λῆς κόσμου, εἰσὶ περιγραφαὶ φαινομένων τοῦ φυσικοῦ κόσμου, ὑπαινιττόμεναι ὅμοια τοιαῦτα ἐν τῷ ἠθικῷ, καὶ τὸν αὐτὸν ἐν ἀμφοτέροις νόμον. Ἵνα τοίνυν ὁ αἰώνιος τῆς Σιὼν Βασιλεὺς καταδείξῃ τὸν ἕνα καὶ μόνον ποινικὸν νόμον τῆς ἀμοιβῆς καὶ τῆς κολάσεως, καθ' ὃν ὀφείλει διεξάγεσθαι τὸ ἠθικὸν τῆς ἱερᾶς Ἐκκλησίας πλήρωμα, ἐχρήσατο ἄριστά τε καὶ καταλληλότατα τοῖς περ τὴν ἄμπελον φαινομένοις, καὶ κατὰ παράθεσιν ἐγνώρισεν ὑμῖν, ὅτι πᾶς χριστιανὸς προσηρτημένος ἐστὶ τῷ Χριστῷ, ὥςπερ τὸ κλῆμα τῇ ἀμπέλῳ, διὰ τῆς μεθέξεως τοῦ σώματος καὶ αἵματος αὐτοῦ. Εἴρηκε γάρ· « Ἐγὼ ἡ » ἄμπελος, ὑμεῖς τὰ κλήματα. Καί, καθὼς τὸ κλῆμα οὐ » δύναται καρπὸν φέρειν ἀφ' ἑαυτοῦ, ἐὰν μὴ μείνῃ ἐν τῇ » ἀμπέλῳ, οὕτως οὐδὲ ὑμεῖς, ἐὰν μὴ ἐν ἐμοὶ μείνητε ». Καί, « ὁ τρώγων μου τὴν σάρκα καὶ πίνων μου τὸ αἷμα, » ἐν ἐμοὶ μένει, κἀγὼ ἐν αὐτῷ ». Καὶ καθὼς τὸ κλῆμα σώζεται μὲν ἐν τῇ ἀμπέλῳ μένον, ἀπόλλυται δὲ ἀποκοπέν· οὕτω καὶ ὁ χριστιανὸς σώζεται μὲν συνημμένος τῷ Χριστῷ τῇ μεθέξει τοῦ τῆς ζωῆς ἄρτου, ἀπόλλυται δὲ χωριζόμενος τῷ ἀφορισμῷ ἢ τῇ ἐκκοπῇ « Ὃς γὰρ ἂν μὴ » ἐν ἐμοὶ μείνῃ, ἐβλήθη ἔξω ὡς τὸ κλῆμα, καὶ ἐξηράνθη, » καὶ συνάγουσιν αὐτὰ καὶ εἰς πῦρ βάλλουσι καὶ καίεται ». Καὶ καθὼς ὁ ἀμπελουργὸς χρῆται τοῖς κλίμασιν, οὕτω καὶ καὶ ὁ οὐράνιος Πατὴρ χρῆται τοῖς χριστιανοῖς, ὥςπερ δρεπάνοις τοῖς ἁγίοις ἐπισκόποις χρώμενος· οὐχὶ δε καὶ τοῖς ἀνοσίοις καὶ βεβήλοις, οἵτινες ἔξωθεν μὲν ἔχουσι σχῆμα προβάτου, ἔσωθεν δέ εἰσι λύκοι ἅρπαγες· οὓς ὀφείλομεν ἐπιγινώσκειν κατὰ τὸν κανόνα, ὃν ἡμῖν δέδωκεν ὁ Χριστός· εἴρηκε γάρ. « Ἀπὸ τῶν καρπῶν αὐτῶν ἐπιγνώ» σεσθε αὐτούς, ὅτι οὐ δύναται δένδρον σαπρὸν καρποὺς » καλοὺς ποιεῖν, οὐδὲ δένδρον καλὸν καρποὺς πονηροὺς

SISMANOGLIO MEGARO



» ποιεῖν. Μήτι συλλέγουσιν ἀπὸ ἀκανθῶν σταφυλήν, ἢ » ἀπὸ τριβόλων σῦκα; οὕτως οὐ δύναται δένδρον σαπρὸν » καρποὺς καλοὺς ποιεῖν, οὐδὲ δένδρον καλὸν καρποὺς » πονηροὺς ποιεῖν. Ἄρα ἀπὸ τῶν καρπῶν αὐτῶν ἐπιγνώ» σεσθε αὐτούς, ὅτι ἐκ τοῦ καρποῦ τὸ δένδρον γινώσκεται ». Ἐπομένως πᾶς χριστιανός, ἐὰν μὴ ποιῇ καρπόν, ἤγουν, ἐὰν μὴ πολιτεύηται κατὰ τοὺς κειμένους Εὐαγγελικοὺς νόμους, αἴρεται ἐκ τῆς ἀμπέλου, ὅ ἐςι, ἀποκόπτεται τῆς ἁγίας κοινωνίας, καὶ στερεῖται τῆς μετοχῆς τοῦ ἀγαθοῦ. Τότε δὲ ἐβλήθη ἔξω ὡς τὸ κλῆμα, καὶ ἐξηράνθη. Ἐὰν δὲ φέρῃ καρπόν, ἤγουν, ἔχῃ πρόθεσιν πολιτεύεσθαι κατὰ τὸν νόμον, καὶ κατορθοῖ αὐτὸν ἐν τοῖς πλείστοις, καθαίρεται τῇ μετανοίᾳ, τῇ ἀφέσει τῶν ἁμαρτιῶν καὶ ταῖς πνευματικαῖς παραινέσεσι, καὶ ἀπολαύει τῶν οὐρανίων δώρων, εἰς προκοπὴν βίου καὶ εἰς τελείωσιν ἀρετῆς, ἕως ἂν χρόνῳ καὶ κατὰ βαθμὸν φθάσῃ εἰς τὸ τέλειον, ὅτε οὐ δυνήσεται ἔτι ἁμαρτάνειν. « Πᾶν » γὰρ τὸ καρπὸν φέρον καθαίρει αὐτό, ἵνα πλείονα καρπὸν » φέρῃ ». « Καί, ὁ τρώγων μου τὴν σάρκα καὶ πίνων μου » τὸ αἷμα ἐν ἐμοὶ μένει, κἀγὼ ἐν αὐτῷ ». « Καί, ὁ μένων ἐν » ἐμοί, κἀγὼ ἐν αὐτῷ, οὗτος φέρει καρπὸν πολύν ». Δῆλον ἄρα, ὅτι ὁ τῇ μεταλήψει τῶν μυστηρίων τὸν Χριστὸν ἐν ἑαυτῷ ἔνοικον ἔχων οὐ δυνήσεται ἔτι ἁμαρτάνειν, ἀλλὰ καρποφορεῖν τὸν εὔχυμον τῆς ἀρετῆς βότρυν, καὶ καυχήσεταί ποτε ὁμοίως τῷ Παύλῳ λέγων· Ἐμοὶ γὰρ ὁ κόσμος ἐσταύρωται, κἀγὼ τῷ κόσμῳ· ζῶ δὲ οὐκέτι ἐγώ· ζῇ δὲ ἐν ἐμοὶ Χριστός.

Λέγομεν ἤδη ὅτι τοῦτον καὶ μόνον τὸν ποινικὸν νόμον ἐθέσπισεν ἐν τῇ Ἐκκλησίᾳ ὁ τῆς Ἐκκλησίας δομήτωρ· διότι οὗτος φέρει τὸν χαρακτῆρα τῆς τελειότητος, καί ἐςιν αὐτάρκης. Καθ' ἃ διατροῦσιν οἱ ἠθικολόγοι, δύο εἰσι

τὰ οὐσιώδη τοῦ ἀνθρώπου καθήκοντα. Τούτων τὸ μὲν καλούμενον ἀποφατικὸν ἐπιβάλλει αὐστηρῶς τὴν ὑποχρέωσιν τῆς τελείας ἀπὸ τοῦ κακοῦ ἀποχῆς, τὸ δὲ καλούμενον καταφατικὸν ὑποχρεοῖ ἀσκεῖν τὸ ἀγαθὸν κατὰ δύναμιν. Πρὸς τὰ δύο ταῦτα καθήκοντα ἡ ἡμετέρα ψυχὴ ἔχει δύο αἰσθήματα, τὸ τοῦ φόβου καὶ τὸ τῆς ἀγάπης, τὸ μέν, ἵνα ἀπέχωμεν ἀπὸ τοῦ κακοῦ, τὸ δέ, ἵνα προσκολλώμεθα τῷ ἀγαθῷ. Ὁ τέλειος ἄρα ποινικὸς νόμος ἐστὶν ἐκεῖνος, ὅστις διεγείρων ἐν τῇ ψυχῇ τὸν μέγιστον φόβον καὶ τὸν ἁγνὸν τοῦ καλοῦ ἔρωτα ποιεῖ ἡμᾶς, ἀπέχεσθαι μὲν ἀπὸ παντὸς πονηροῦ πράγματος, ἀσπάζεσθαι δὲ πρόφρονι θυμῷ ὅσα καλά. Ἀλλαμὴν ὁ ποινικὸς τῆς Ἐκκλησίας νόμος ἀπειλῶν τὴν ἐκκοπὴν τοῦ ἀκάρπου κλήματος ἐκ τῆς ἀμπέλου, τὴν ξήρανσιν αὐτοῦ ἑπομένως καὶ τὴν καῦσιν, ἔχει ἐπιτηδείως διεγεῖραι τὸν μέγιστον φόβον, οὗ μείζων οὐκ ἂν γένοιτο, πρὸς τὴν τοῦ κακοῦ ἀποχήν. Ὑποσχόμενος δὲ τὴν κάθαρσιν τοῦ καρπίμου κλήματος, καὶ τὴν αἰώνιον μετὰ τοῦ παγκάλου *ἀγαθοῦ* συνοίκησιν, θαυμασίως διεγείρει τὴν προθυμίαν τοῦ ἀσπάζεσθαι καὶ ποιεῖν ὅσα καλά, ὅτι φύσει ἡ ἡμετέρα ψυχὴ ἐρᾷ τοῦ *ἀγαθοῦ*. Ἄρα ὁ εἷς ποινικὸς τῆς Ἐκκλησίας νόμος ἐστὶν αὐτάρκης πρὸς τὸ ἐκκλίνειν ἡμᾶς ἀπὸ τοῦ κακοῦ καὶ ποιεῖν τὸ ἀγαθόν, καὶ φέρει τὸν χαρακτῆρα τῆς τελειότητος. Καὶ πῶς ἦν δυνατὸν ἔχειν ἄλλως τὸ θέσπισμα τοῦ ἐλθόντος, ἵνα πληρώσῃ τὸν νόμον; Ἅπαν τοίνυν τὸ ποινικὸν τῆς Ἐκκλησίας δίκαιον ἐν τούτῳ καὶ μόνῳ τῷ νόμῳ συνίσταται, καὶ πάντες οἱ Ἀποστολικοί τε καὶ Συνοδικοὶ κανόνες τοῦ κοινωνείτω καὶ ἀφοριζέσθω οὐδὲν πλέον οἴδασι. Ὅσοι τοίνυν τῶν Ἐπισκόπων ἐχρήσαντό ποτε, ἢ καὶ νῦν ἔτι χρῶνται ἑτέροις ποινικοῖς νόμοις ἢ τούτῳ, οὗτοι πάντες ἐλέγχονται ὑπερβαίνοντες δικαιοσύνης ὅρους

SISMANOGLIO MEGARO



οὓς ἠγάπησεν ὁ Κύριος, ἀλλοτριοπραγμονοῦντές τε καὶ ἀδικοῦντες· οὐ μὴν ἀλλὰ καὶ ἀμαθεῖς τὴν ἐσχάτην καὶ ἐπονείδιστον ἀμαθίαν, ὡς μὴ εἰδότες τὸν τέλειον τῆς ἑαυτῶν ἐξουσίας νόμον, μηδὲ δυνάμενοι χρῆσθαι αὐτῷ ἀρίστῳ ὄντι, πρὸς τὸ ἄριστα ποιμαίνειν τὸ ποίμνιον, ἀλλ' ἀσπαζόμενοι τὰ ἥττω καὶ ἀλλότρια νόμιμα ἐν ἔριδι καὶ μάχῃ, ἐγκαταλιμπάνοντες δὲ τὰ ἐν χερσὶν ἄριστα καὶ κρείττω, ἅτινα οὐκ ἄν τις τολμήσειε διαφιλονεικῆσαι αὐτοῖς. Ἀλλὰ ταῦτα πράττουσιν ἐκεῖνοι, περὶ ὧν ὁ Κύριος ἔλεγεν, ὅτι *ἔρχονται ἐν ἐνδύμασι προβάτου, ἔσωθεν δέ εἰσι λύκοι ἅρπαγες, καὶ οὓς ἐκέλευσε διαγινώσκειν ἀπὸ τῶν καρπῶν αὐτῶν, καὶ ἀφίστασθαι ἀπὸ τῶν τοιούτων*.

Ἀλλ' ὁ τέλειος νόμος δεῖται καὶ τελείου ἄρχοντος. Οὐ δυνήσεται δὲ ἀτελὴς ἄρχων τέλειον διαχειρίσασθαι νόμον ἐπὶ τῇ τῶν ἄλλων ὠφελείᾳ, ὡς δηλοῦσιν αἱ παραβολαί Ἰατρέ, θεράπευσον σεαυτόν· καὶ τό, Ὑποκριτά, « ἔκβαλλε πρῶτον τὴν δοκὸν ἐκ τοῦ ὀφθαλμοῦ σου, καὶ τότε διαβλέψεις ἐκβαλεῖν τὸ κάρφος τὸ ἐν τῷ ὀφθαλμῷ τοῦ ἀδελφοῦ σου ». Καί, « Ἐν ᾧ γὰρ κρίνεις τὸν ἕτερον, σεαυτὸν κατακρίνεις· τὰ γὰρ αὐτὰ πράσσεις ὁ κρίνων ». Διὰ ταῦτα ὁ τὴν Ἐκκλησίαν ἀγαπήσας, ὥςπερ τὴν ἑαυτοῦ νύμφην ὁ νυμφίος, αὐτήν τε ἐκτρέφων καὶ θάλπων, ὥςπερ ἕκαστος τὴν ἑαυτοῦ σάρκα, καθὼς τῇ τῆς ἀμπέλου παραβολῇ χρώμενος κατέδειξε καὶ τεθέσπικεν ἐν αὐτῇ τὸν τέλειον νόμον, πρὸς τὴν εἰς τὰ καλὰ προαγωγήν· οὕτω καὶ ἐν ἑτέραις παραβολαῖς καὶ ὁμοιώσεσιν ἐχαρακτήρισε τὸν τέλειον ἄρχοντα. Ἐν οἷς γὰρ εἴρηκε πρὸς τοὺς ἑαυτοῦ μαθητάς, « Ὑμεῖς ἐστε τὸ ἅλας τῆς γῆς ». « Ὑμεῖς ἐςὲ τὸ φῶς τοῦ κόσμου . . . καὶ ὥςπερ ὁ λύχνος λάμπει πᾶσι τοῖς ἐν τῇ οἰκίᾳ, οὕτω λαμψάτω τὸ φῶς ὑμῶν

» ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσιν ὑμῶν τὰ καλὰ » ἔργα, καὶ δοξάσωσι τὸν Πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐ- » ρανοῖς ». « Καί, « Ὁ ποιμὴν ὁ καλὸς τὴν ψυχὴν αὐ- » τοῦ τίθησιν ὑπὲρ τῶν προβάτων ». Ἐν πᾶσι τούτοις τοῖς λόγοις, τίς οὐ διακρίνει τοὺς χαρακτῆρας τοῦ γνησίου καὶ θεοπροβλήτου τῆς Ἐκκλησίας ἄρχοντος; Βούλεται γὰρ αὐτὸν φῶς μὲν ὡς πρὸς τὴν διδασκαλίαν καὶ τὴν διάδοσιν τῆς Εὐαγγελικῆς ἀληθείας, καθηγεμόνα δὲ καὶ παράδειγμα τῶν καλῶν ἔργων, ἵνα ὁρῶσιν οἱ πάντες οἷον ὀφείλουσι μιμεῖσθαι, ἅλας δέ, ἤγουν, ἱκανὸν τοῦ συνέχειν καὶ διακρατεῖν τοὺς πιστοὺς ἐν τοῖς ἀμώμοις ἤθεσι, καὶ μὴ ἐᾷν αὐτοὺς λωβᾶσθαι ἢ σήπεσθαι ἐν μοχθηρίας τρόποις, ἥρωα δὲ ὡς πρὸς τὸ μάχιμόν τε καὶ καρτερικὸν κατὰ τῶν λύκων καὶ ληστῶν καὶ ἐπιβούλων τῆς ποίμνης, ὅτι κύκλῳ οἱ ἀσεβεῖς περιπατοῦσι κατὰ τὸν Προφήτην· ἁπλούστερον δὲ εἰπεῖν, βούλεται ὁ Χριστὸς τὸν ἐν Ἐκκλησίᾳ ἄρχοντα σοφὸν μὲν τὴν διάνοιαν, ἀγαθὸν δὲ τὴν πρᾶξιν, ἡρωϊκὸν δὲ καὶ γενναῖον κατὰ τὴν εὐψυχίαν, ἵνα δύνηται ἀμφότερον, τήν τε ποίμνην διακρατεῖν ἐν τῇ τῶν ἀγαθῶν στάσει καὶ ἀναβιβάζειν ἐπὶ τὴν οὐράνιον τῆς ἀρετῆς κλίμακα, τούς τε ἐπερχομένους λύκους καὶ ληστὰς ἀπελαύνειν πανοπλίαν Θεοῦ ἐνδεδυμένος, οἵαν ὑπέδειξεν ὁ κλεινὸς καὶ μέγας Παῦλος, οἷον θώρακα δικαιοσύνης, περικεφαλαίαν σωτηρίου, θυρεὸν πίστεως, καὶ μάχαιραν Πνεύματος, ὅ ἐςι, ῥῆμα Θεοῦ. Τοιούτους βούλεται ὁ Χριστὸς τοὺς τῆς Ἐκκλησίας ἄρχοντας, καὶ τοιούτους κατηρτίσατο τοὺς ἑαυτοῦ μαθητάς, καὶ τοιούτους πολλοὺς ἔχει δεῖξαι ἡ ἐκκλησιαστικὴ ἱστορία, οἷον Χρυσοστόμους, Βασιλείους, Γρηγορίους, Ἀθανασίους καὶ Κυρίλλους, ὧν τὸ κλέος εὐρὺ πᾶσαν ἐπ' αἶαν.

Ἀλλὰ προειδὼς ὅτι καὶ ὁ Σατανᾶς μετασχηματισθήσεται εἰς ἄγγελον φωτός, καὶ οἱ διάκονοι αὐτοῦ ὡς διάκονοι δικαιοσύνης· ὅτι τε λύκοι βαρεῖς εἰσελεύσονται ἐν ἐνδύμασι προβάτου μὴ φειδόμενοι τοῦ ποιμνίου, ὅτι τε πολλοὶ ἔσονται ψευδαπόστολοι, ἐργάται δόλιοι, δουλεύοντες οὐχὶ τῷ Χριστῷ, ἀλλὰ τῷ μαμωνᾷ καὶ τῇ ἑαυτῶν κοιλίᾳ, διὰ ταῦτα κηδόμενος ἡμῶν, ἐδίδαξεν ἐν πολλοῖς, ὡς δεῖ ἀπαλλάττεσθαι τῶν τοιούτων. Ἐγχειρίζων γὰρ τὴν ποιμαντορίαν τῷ Κορυφαίῳ τῶν Ἀποστόλων ἠρώτησεν αὐτόν· Σίμων Ἰωνᾶ, ἀγαπᾷς με πλεῖον τούτων; Ἐκείνου δὲ ἀποκριθέντος, Κύριε, Σὺ οἶδας ὅτι φιλῶ σε, λέγει αὐτῷ, ποίμαινε τὰ πρόβατά μου. Νοοῦμεν ἄρα ὅτι ὁ Χριστὸς παρέχει τὸ δικαίωμα τῆς ποιμαντορίας τοῖς ἀγαπῶσιν αὐτόν, καὶ οὐδαμῶς βούλεται ποιμαίνεσθαι αὐτοῦ τὸ ποίμνιον ὑπὸ τῶν μὴ φιλούντων αὐτόν. Αὐτὸς δὲ ὡρίσατο τὴν εἰς ἑαυτὸν ἀγάπην οὕτω. Ὁ ἔχων τὰς ἐντολάς μου καὶ τηρῶν αὐτὰς ἐκεῖνός ἐςιν ὁ ἀγαπῶν με. Οὐδεὶς ἄρα ἔχει δικαίωμα ποιμαίνειν τὴν τοῦ Χριστοῦ ποίμνην, ἐὰν μὴ ἀγαπᾷ τὸν Χριστόν· ἐὰν μὴ ἔχῃ καὶ τηρῇ αὐτοῦ τὰς ἐντολάς. Καθαιρετέος ἄρα ὁ ἐπίσκοπος ἐκεῖνος, εἴτε Ῥώμης εἴτε Κωνσταντινουπόλεως, ὅστις ποτ' ἂν ᾖ, ἐὰν ἐλεγχθῇ τῶν Εὐαγγελικῶν νόμων παραβάτης, καὶ κατηγορητέος καὶ δικαστέος πᾶς ἐπίσκοπος παντὶ τῷ δυναμένῳ ἐλέγξαι αὐτὸν ἁμαρτάνοντα. Οὐδένα γὰρ βούλεται ὁ Χριστὸς προνομιοῦχον ἐν τῇ ἑαυτοῦ Ἐκκλησίᾳ, καὶ κρείττονα τοῦ νόμου, εἰς ὃν αὐτὸς πρῶτος ὑπετάγη, οὐδὲ παρανομοῦντα μὴ διδόναι δίκας. Εἴρηκε γάρ. « Καλὸν τὸ » ἅλας, ἐὰν δὲ τὸ ἅλας μωρανθῇ, ἐν τίνι ἁλισθήσεται; Εἰς » οὐδὲν ἰσχύει ἔτι, εἰμὴ βληθῆναι ἔξω καὶ καταπατεῖσθαι » ὑπὸ τῶν ἀνθρώπων ». Καὶ συμμαρτυροῦσι τῷ λόγῳ οἱ περὶ





SISMANOGLIO MEGARO

κατηγορίας καὶ δίκης ἐπισκόπων κείμενοι Ἐκκλησιαστικοὶ νόμοι, καὶ τὸ πρὸς Τιμόθεον ἐντελλόμενον ὑπὸ τοῦ Παύλου, μὴ προσδέχεσθαι κατηγορίαν κατὰ πρεσβυτέρου, εἰμὴ ἐπὶ στόματος δύο ἢ τριῶν μαρτύρων. Πάντες ἄρα κατηγορητέοι, καὶ πάντες δικάσιμοι, καὶ πάντες ὑπόλογοι ὧν πράττομεν. Καὶ πᾶς χριστιανός, μέλος τῆς Ἐκκλησίας, ἔχει δικαίωμα κατὰ παντὸς διεκδικεῖν τὸν νόμον τοῦ Χριστοῦ, τὸν νόμον τῆς ἡμετέρας πατρίδος, καὶ θεωρῶ παραβάτην μεγίστου καθήκοντος πάντα ἀνεχόμενον ἀποινεὶ καταπατεῖσθαι τὸν νόμον τοῦ Χριστοῦ, καὶ μάλιστα ὑπ' ἐκείνων, οἵτινες ὀφείλουσι λάμπειν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως βλέπωσιν αὐτῶν τὰ καλὰ ἔργα, καὶ δοξάζωσι τὸν Πατέρα ἡμῶν τὸν ἐν τοῖς οὐρανοῖς. Καὶ καθὼς οἱ ἐπίσκοποι ἔχουσι τὸ δικαίωμα τοῦ αἰτεῖν παρὰ τῶν πιστῶν λόγον τῆς ἑαυτῶν διαγωγῆς, δεσμεῖν τε καὶ λύειν αὐτῶν τὰς ἁμαρτίας, πρὸς παιδαγωγίαν καὶ διόρθωσιν αὐτῶν· οὕτω καὶ οἱ πιστοὶ ἔχουσι τὸ δικαίωμα τοῦ αἰτεῖν παρὰ τοῦ ἐπισκόπου λόγον τῆς τε πίστεως καὶ διαγωγῆς αὐτοῦ, ἐάν τις ὑποψία καὶ ὑπόνοια λάβῃ χώραν κατ' αὐτοῦ, ἵνα οὕτως ἐλέγχωνται οἱ ψευδαπόστολοι καὶ οἱ δόλιοι ἐργάται, οἱ μὴ εἰσερχόμενοι διὰ τῆς θύρας εἰς τὴν τῶν προβάτων αὐλήν· ἵνα τῶν τοιούτων ἀπαλλαττώμεθα ἐν δίκῃ. Ἡ Ἐκκλησία ἄρα κέκτηται ἐπὶ γῆς τὸ ὄντως ἀληθὲς σύνταγμα, ὅπερ συνετάξατο ἡ Σοφία τοῦ Θεοῦ, κεκοσμημένον ἰσότητι, ἐλευθερίᾳ, ἑνότητι, λόγῳ καὶ ἀναλογίᾳ. Ἡ Ἐκκλησία ἐστὶ τὸ θεόσδοτον πολίτευμα τῆς ἀνθρωπίνου κοινωνίας ἐν τῇ παρούσῃ ζωῇ, προωρισμένον θεραπεῦσαι πάντα τὰ ἀνθρώπινα δυστυχήματα ἀτομικά τε καὶ κοινωνικά, προωρισμένον ἑπομένως κατεδαφίσαι καὶ ἐξαλεῖψαι τὴν παλαιὰν Βαβυλῶνα, τὴν δυσειδῆ

SISMANOGLIO MEGARO



Πονηρούπολιν, ἐν ᾗ φύονται πάντα τὰ δεινά, καὶ ἥτις βληθήσεται εἰς τὴν θάλασσαν ὁρμήματι μεγάλῳ, ὃν τρόπον ὥρμησεν ἡ δαιμονόληπτος ἀγέλη τῶν χοίρων κατὰ τοῦ κρημνοῦ εἰς τὴν θάλασσαν καὶ ἐπνίγη. Φέρε τοίνυν ἴδωμεν ὅσον τοῦ ἔργου διήνυσται, ἀφ' οὗ χρόνου ἤρξατο ἡ μεταξὺ μάχη μέχρι σήμερον, στρατηγούντων τοῦ μὲν Διαβόλου ἐν τῇ Πονηρουπόλει, τοῦ δὲ Χριστοῦ ἐν τῇ Ἀγαθουπόλει.

Γινώσκομεν ἐκ τῶν προηγουμένων ὅτι ὁ Διάβολός ἐστι δημιούργημα ἐλεύθερον ἐκπεσὸν τοῦ Ἀγαθοῦ, καὶ ὅτι νόμον ἐνεργείας ἔχει τοῦ ἀποσπᾷν τοῦ Ἀγαθοῦ δόλῳ καὶ πονηρίᾳ ἕτερα ἐλεύθερα δημιουργήματα. καὶ εἰ δυνατὸν αὐτῷ συγχῦσαι καὶ ματαιῶσαι σύμπασαν τὴν δημιουργίαν, τὸ ἔργον τῆς Σοφίας τοῦ Θεοῦ· ἐχθρὸς ἄρα καὶ ἀντικείμενος ὁ Διάβολος τῷ Χριστῷ, διανοούμενος συγχέειν καὶ καταστρέφειν, ὅσα ὁ Κύριος παράγων συναρμολογεῖ καὶ σώζει· ὁ Διάβολος ἄρα ἐστὶ κακοῦργος ἀποστάτης ἐν τῇ Θείᾳ παντοκρατορίᾳ, ἄξιος δεσμῶν καὶ φυλακῆς, ὀδύνης καὶ θλίψεως. Καὶ καθὼς ὁ κακοῦργος ληστὴς ἐν τῇ ἐννόμῳ καὶ βασιλευομένῃ κοινωνίᾳ, καταφρονῶν τοῦ βασιλικοῦ τε καὶ κοινωνικοῦ νόμου, νόμον ἐνεργείας ἴδιον ἔχει τὸ φονεύειν τὰ μέλη τῆς ἐννόμου κοινωνίας, καὶ διαρπάζειν τὰ ἑαυτῶν, οὕτως ἔχει καὶ ὁ Διάβολος ἐν τῇ συμπάσῃ δημιουργίᾳ. Καὶ καθὼς ὁ βασιλεύς, ἵνα σώσῃ τὴν ἑαυτοῦ κοινωνίαν, συλλαμβάνει τὸν κακοῦργον ληστήν, καὶ δικάσας, ἢ κτείνει ἢ δεσμεύει αὐτὸν ἁλύσεσι καὶ πέδαις ἰσχυραῖς κατὰ τὸν κείμενον ποινικὸν νόμον, οὕτω καὶ ὁ Θεὸς ποιήσει τῷ Διαβόλῳ· ὁ Διάβολος, Ἀρχάγγελος ὢν ἐν τῷ ἀγγελικῷ ἐκείνῳ κόσμῳ ὑπὸ τὸν Λόγον τοῦ Θεοῦ, ἐπεχείρησε καθολικὴν ἀποστασίαν ἀπὸ τοῦ Λόγου καὶ τῆς ἀληθείας· ἀλλ' ἀπέτυχε τῆς προθέσεως, τῶν Ἀρχαγγέλων Μιχαὴλ καὶ Γαβριὴλ

εἰπόντων « στῶμεν καλῶς, στῶμεν μετὰ φόβου », καὶ οὕτω πέπτωκε μόνος, ὡς ἀστραπὴ ἐκ τοῦ οὐρανοῦ, μετὰ τοῦ ὑπ' αὐτὸν τάγματος. Τὸ γεγονὸς τοῦτο θαυμασίως ἐξηγεῖ τὴν φύσιν τῆς ἐλευθερίας, ἤτοι τῆς ἑκουσίου ἐνεργείας, ὑπὸ τὴν εὐθύνην τοῦ ἐνεργοῦντος· ἀλλὰ καὶ ἐξ ἡμῶν αὐτῶν δυνάμεθα λαβεῖν σαφῆ καὶ ἀκριβῆ αὐτῆς ἔννοιαν. Ἐλευθερία ἐστὶ δύναμις ἐνεργοῦσα ὑπὸ τὴν ὁδηγίαν τοῦ λόγου, καὶ οὐχὶ ὑπὸ βίαν, βραβευομένη τῇ εὐπειθείᾳ, καὶ παιδευομένη τῇ ἀπειθείᾳ. Πᾶς ἄνθρωπος καλῶν ἑαυτὸν διὰ τῆς λέξεως ἐγώ, σύνοιδεν ἑαυτὸν ὡς δύναμιν βουλητικήν, αὐτενεργόν τε καὶ αὐτοκίνητον. Ἔτι σύνοιδεν ὅτι εὐμοιρεῖ λογικῆς τινος δυνάμεως ὑποβαλλούσης μὲν καὶ ὑποδεικνυούσης τὸν νόμον τῆς ἐνεργείας, ἀλλ' οὐ βιαζομένης. Καὶ μνημονεύει ἕκαστος ἐν ταῖς διαφόροις αὐτοῦ πράξεσιν ὅτι, ὁτὲ μὲν ἐνεργεῖ πειθόμενος τῷ ἑαυτοῦ λόγῳ, καὶ χαίρει ἐν ἑαυτῷ· ὁτὲ δὲ ἐνεργεῖ ἐναντίον αὐτοῦ, παρακούων τῆς φωνῆς αὐτοῦ, καὶ θλίβεται ἀκολούθως μεμφόμενος ἑαυτὸν ἐπὶ τῇ ἀπειθείᾳ. Γινώσκομεν ἔτι ἐκ πείρας, ὅτι ἄνθρωπος μηδαμῶς ὑπακούων τῷ λόγῳ καὶ εἰς ἀλογίαν ἐκστάς, νόμον ἐνεργείας ἔχει τὴν ἰσχὺν αὐτοῦ· ποιεῖ ὅ,τι δύναται ποιῆσαι, ἀδυναμίᾳ μόνῃ ἀναχαιτιζόμενος τῶν ἑαυτοῦ ὁρμῶν. Ἀναγινώσκομεν οὖν ἐν τῷ βιβλίῳ τῆς οὐσίας ἡμῶν, ὅτι ἕκαστός ἐστι δύναμις προαιρετική, νομοθετούμενος ὑφ' ἑτέρας δυνάμεως λογικῆς, οὔσης μὲν ἐν ἡμῖν, ἀνεξαρτήτως ὅμως ἡμῶν. Ὅτι ἕκαστος δύναται μὲν ἀθετῆσαι τὸν ἑαυτοῦ λόγον, ἀλλὰ λέγεται διὰ τοῦτο κακός, καὶ κρίνεται ἀξιόποινος· ὁ δὲ ὑποτασσόμενος αὐτῷ λέγεται ἐνάρετος, ἀγαθός, καὶ κρίνεται ἄξιος βραβείου καὶ τιμῆς. Ὅθεν συμπεραίνω ἐξ ἀναλογίας, ὅτι ἐστὶ δυνατὴ ἐκτὸς ἐμοῦ ὕπαρξις ὄντος νοητικοῦ καὶ ἐλευθέρου ἐνεργοῦντος ἀλόγως,

SISMANOGLIO MEGARO



τουτέστιν, ἀπειθοῦντος εἰς τὸν ἀπόλυτον καὶ ὑπέρτατον Λόγον τὸν ἑδρεύοντα ἐν τῷ Θεῷ. Ἐπισήμως δὲ μαρτυρηθείσης τῆς ὑπάρξεως αὐτοῦ, καὶ τῶν ἀποτελεσμάτων τῆς ἐνεργείας αὐτοῦ αἰσθητῶν καὶ ψηλαφητῶν ὄντων, πῶς δύναμαι ἀπιστεῖν εἰς τὴν τούτου ὕπαρξιν, καὶ μὴ προφυλάττεσθαι ἀπὸ τῶν ἐπηρειῶν αὐτοῦ; Ποῦ εἰσιν οἱ σοφοὶ τοῦ αἰῶνος τούτου, οἱ καλοῦντες τὴν περὶ τῆς ὑπάρξεως τοῦ Διαβόλου πίστιν, πρόληψιν, δεισιδαιμονίαν, καὶ τὰ ὅμοια, καὶ τοὺς ἁπλουστέρους ἐν παραλογισμοῖς σαλεύοντες ἀπὸ τῆς ἀληθείας; Ἐλθέτωσαν εἰς συνδιάλεξιν, ἵνα γνῶσιν, ὅτι ἐμώρανεν ὁ Θεὸς τὴν σοφίαν τοῦ κόσμου τούτου. Ἀλλ' ἐπανέλθωμεν ἐπὶ τὸ προκείμενον. Ὁ ἀποστάτης καὶ κακοῦργος ἐν τῇ θείᾳ κοσμοκρατορίᾳ Διάβολος δεῖται δεσμῶν καὶ φυλακῆς, πρός τε ποινὴν τῆς ἰδίας ἀπειθείας, πρός τε σωτηρίαν ἑτέρων δημιουργημάτων, ἅτινα οὐ παύεται ἐπηρεάζων. Ἀλλὰ ῥίψωμεν ἓν βλέμμα ἐπὶ τῆς πείρας, καὶ συμβουλευθῶμεν αὐτήν. Ἐκ ταύτης μανθάνομεν ὅτι ἡ ψυχὴ ἐστι πνεῦμα συνημμένη ὑλικῷ σώματι καὶ ἐνεργοῦσα διὰ τοῦ σώματος· ἀλλ' ἐὰν τὸ σῶμα πάθῃ παραλυσίαν, ἡ ψυχὴ μένουσα ἐν αὐτῷ οὐ δύναται ἐνεργῆσαι· ἐὰν δὲ ὁ ὀργανισμὸς λάβῃ ποιάν τινα στροφήν, ἡ ψυχὴ μένουσα ἐν αὐτῷ ὀδυνᾶται καὶ θλίβεται, μὴ δυναμένη ἀφ' ἑαυτῆς ἀπαλλαγῆναι. Διδάσκει τοίνυν ἡμᾶς ἡ πεῖρα, ὅτι δύναται ὁ Θεὸς ἐν διωργανισμένῃ ὕλῃ φυλακίζειν καὶ δεσμεύειν τὰς πνευματικὰς οὐσίας, καὶ ποιεῖν ὥστε βασανίζεσθαι καὶ θλίβεσθαι αὐτὰς ἐν αὐτῇ, καὶ μὴ δύνασθαι εὑρεῖν ἀπαλλαγήν. Οὐδεμία ἄρα ἀμφιβολία, ὅτι τοιαύτης φύσεως δεσμά, ἀνάλογα τῷ Διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ, καλούμενα Ἅδης τε καὶ Τάρταρος καὶ πῦρ ἐξώτερον, κατεσκεύασεν ἡ Σοφία τοῦ Θεοῦ ἀπ' ἀρχῆς κόσμου· ἀλλ'

οὐκ ἐβλήθη ἐν αὐτοῖς ὁ Διάβολος, οὐδὲ ἐδεσμεύθη μετὰ τὴν αὐτοῦ πτῶσιν, ἀλλ' ἀφέθη ἐνεργεῖν κατὰ τὸν νόμον τῆς ἑαυτοῦ ἐνεργείας, διὰ τὸν λόγον, ὃν καὶ ἀνωτέρω πρόσθεν εἴπομεν, καὶ ἤδη ἐπαναλαμβάνομεν χάριν πλείονος σαφηνείας.

Ἐνδεχομένου ὄντος τοῦ κακοῦ ἐν τῇ δημιουργίᾳ διὰ τὴν φύσιν τῆς ἐλευθερίας, ὁ Θεὸς ὤφειλε προνοῆσαι ἀμφότερον, τήν τε συμπλήρωσιν τῶν πεπτωκότων, τό τε ἀμετάπτωτον τῶν ἀντικαταστάντων, ἤτοι τὸ ἀδύνατον τῆς ἐπανόδου τοῦ κακοῦ δεύτερον. Πρὸς τὸν σκοπὸν τοῦτον παρήγαγε τὸν ἑξαήμερον κόσμον, καὶ πρὸς τὸν σκοπὸν τοῦτον ἐργάζεται ἔτι ἐν αὐτῷ, ἕως οὗ προέγνω καὶ προώρισε χρόνου. Ἡ συμπλήρωσις τῶν πεπτωκότων ἐν ῥοπῇ ὀφθαλμοῦ ἐγίνετο ἄν, δυναμένου τοῦ Θεοῦ εἰπεῖν καὶ γενηθῆναι. Ἀλλὰ τὸ ἀμετάπτωτον τῶν δημιουργημάτων, ἤτοι τὸ εὐμοιρεῖν μὲν ἐλευθερίας, ἀλλὰ μὴ δύνασθαι ἁμαρτάνειν, καθάπερ καὶ ὁ Θεός, τοῦτο οὐκ ἦν ἄλλως δυνατόν, εἰμὴ διὰ τῆς παραγωγῆς ἐλευθέρων δημιουργημάτων χρόνῳ καὶ κατὰ βαθμὸν στερεουμένων ἐν τῷ Ἀγαθῷ, ἐπηρεάζοντος καὶ τοῦ κακοῦ. Καθὼς γὰρ ὁ ὀφθαλμὸς πεῖραν λαμβάνων τοῦ φωτὸς καὶ τοῦ σκότους, τῆς ὠφελείας ἐκείνου καὶ τῆς βλάβης τούτου, ἐφίεται εἶναι ἀεὶ ἐν τῷ φωτί, καὶ οὐ στέργει τὸ σκότος, οὕτω καὶ ἡ διάνοια ἡμῶν λαμβάνουσα γνῶσιν καλοῦ καὶ πονηροῦ, δοκιμάζουσα τοῦ μὲν τὸ τερπνὸν καὶ μακάριον, τοῦ δὲ τὸ θλιβερὸν καὶ ὀλέθριον, τοῦτο μὲν μισήσει καὶ βδελύξεται, ἐκεῖνο δὲ ἀγαπήσει καὶ ἀσπάσεται. Καὶ ἐὰν ἐγὼ ἐν τῷδε τῷ βίῳ θλιβόμενος, κακουχούμενος, ταλαιπωρούμενος, πυρὶ ἐμβαλλόμενος καὶ πᾶν δυνατὸν δεινὸν πάσχων, οὐκ ἀσπάζομαι τὸ κακόν, ἀλλ' ἐμμένω ἀσαλεύτως ἐν τῷ Ἀγαθῷ, πολλῷ μᾶλλον πο-

SISMANOGLIO MEGARO



λίτης γενόμενος τῆς μακαρίας πόλεως Σιὼν καὶ μηδεμίαν ἐπήρειαν ἔτι πάσχων, ἐν πλήρει εὐδαιμονίᾳ ἀντιθέτῳ οὔσῃ ἧς ἔλαβον πρότερον δεινοπαθείας, ἔσται μοι ἀδύνατος ἡ ἀπ' ἐμαυτοῦ πτῶσις. Τίς γάρ ποτε ἐκ τοῦ χείρονος μεταβὰς εἰς τὸ κρεῖττον στέρξει τὴν ἐπάνοδον; Καὶ τίς δύναται ἐκτιμῆσαι τὴν ἀξίαν ἀγαθοῦ τινος μὴ λαβὼν πεῖραν καὶ τοῦ ἀντιθέτου κακοῦ; Ἰδοὺ λοιπὸν ὁ ἀποχρῶν λόγος, δι' ὃν ἐλεύθερος δημιουργηθεὶς ὁ ἄνθρωπος ἀφέθη εἰς τὴν ἐπήρειαν τοῦ Σατανᾶ, ἵνα μάθῃ ἐκ τῶν παθημάτων χρῆσθαι τῇ ἐλευθερίᾳ καὶ μὴ καταχρῆσθαι, ἤτοι, ὅπως ἐλεύθερος ὢν μὴ δύνηται ἁμαρτάνειν, μήτε ὑφ' ἑτέρου ἐπηρεαζόμενος μήτε ἀφ' ἑαυτοῦ ἀποφασίζων· «Σοφίας οὐ κατισχύσει ποτὲ κακία» εἶπεν ὁ σοφός· τουτέστιν, ἡ Σοφία τοῦ Θεοῦ ἔργον ἔχει παράγειν, συναρμολογεῖν καὶ σώζειν, μέτοχα ποιοῦσα μακαριότητος τὰ δημιουργήματα· ὁ Διάβολος ἀποπειρᾶται συγχέειν, καταστρέφειν καὶ λυμαίνεσθαι τὴν δημιουργίαν. Τίς ἄρα ἔσται ὁ νικήσων; Κύριος κραταιὸς καὶ δυνατός, Κύριος δυνατὸς ἐν πολέμῳ. Τὸ ἐσκοτισμένον καὶ ἐπηρμένον πνεῦμα οὐ δύναται γνῶναι ὅτι συνεργεῖ ἀκουσίως εἰς δόξαν καὶ ἔπαινον τῶν ἔργων τοῦ Θεοῦ, καὶ ὅτι ἐστὶ τυφλὸν ὄργανον τῶν βουλῶν τῆς θείας προνοίας, ἕως ἄν, περιττῆς γενομένης τῆς ἐπηρείας αὐτοῦ, βληθῇ εἰς τὴν γέενναν, καὶ εἰς τὸ πῦρ τὸ ἄσβεστον, δεσμευθεὶς αὐτός τε καὶ αἱ ἐνέργειαι αὐτοῦ, ὡς γέγραπται· «Ζητηθήσεται ἡ » ἁμαρτία αὐτοῦ, καὶ οὐ μὴ εὑρεθῇ»· οὗτος ἄρα ὁ φαινόμενος κόσμος, ὡς προεξηγήσαμεν, ὤφειλεν ἔχειν κατασκευὴν μηχανουργείου καὶ ἐργοστασίου, καὶ περιέχειν πᾶν ὅ,τι συντελεῖ πρὸς τὸν ὕψιστον καὶ θεοπρεπῆ σκοπόν, τουτέστι, τὴν κατασκευὴν τῶν θεῶν, ὧν ὁ προορισθεὶς ἀριθμός, ἐπειδὰν συμπληρωθῇ, ὡς εἰς οὐδὲν ἔτι χρήσι-

μος καταστραφήσεται. Τὸ ὄργανον τίθεται ἐν χρήσει καὶ ἐνεργείᾳ χάριν τῆς τοῦ σκοποῦ ἐπιτυχίας, ἐπιτευχθέντος δὲ τοῦ σκοποῦ, τὸ ὄργανον ἀποβαίνει μάταιον, καὶ ἐκλείπει. Καὶ καθὼς ἀρχιτέκτων, ἵνα ἀνεγείρῃ λιθόκτιστον οἰκίαν, ἵστησιν ἔξω τῶν τοίχων ξυλίνας ἀναβάθρας, περατωθέντων δὲ τῶν τοίχων, κατ' ἀνάγκην κρημνίζει καὶ ἀφανίζει αὐτάς· οὕτω καὶ ὁ Θεὸς ποιήσει τῷ κόσμῳ τούτῳ, περατωθείσης τῆς οἰκοδομῆς τῆς ἁγίας Σιών· τὸ ἐργοστάσιον ἀνεγείρεται καὶ ὑφίσταται οὐχὶ δι' ἑαυτό, ἀλλὰ διὰ τὰ ἑαυτοῦ ἐξαγόμενα· τότε ἄρα ἐκλείψει τὸ ἐργοστάσιον, ὅτε ἐκλείψει καὶ ἡ χρεία τῶν ἐξαγομένων· ὁ Κόσμος οὗτος, κόσμος ὑπὸ χρόνον, κόσμος γενέσεως καὶ φθορᾶς, ὀφείλει ἐκλεῖψαι ἐνώπιον τοῦ κόσμου τῆς αἰωνιότητος καὶ τῆς στάσεως, ἀξίου ὄντος τοῦ αἰωνίου Θεοῦ.

Τοιαύτης οὔσης τῆς φύσεως καὶ τοῦ προορισμοῦ τοῦ παρόντος κόσμου, τοιοῦτον λόγον ἐχούσης τῆς ἐν αὐτῷ ἐνεργείας τοῦ κακοῦ, τῶν ἀνθρώπων εἰσερχομένων ἐν αὐτῷ ὡς κατεργασίμου ὕλης, ὁρῶμεν ὅτι οὐ πάντες κατεργάζονται, καὶ οὐ πάντες ἀνέρχονται εἰς ὃ προώρισεν ὕψος ἡ θεία μεγαλοπρέπεια. Ὁ Θεὸς εἶπεν· « Ἐγὼ εἶπα » Θεοί ἐςε καὶ υἱοὶ ὑψίστου πάντες, ὑμεῖς δὲ ὡς ἄνθρω- » ποι ἀποθνήσκετε ». Τὸ μὴ ἐπιτυγχάνειν ἄρα πάντως τοῦ ὑψηλοῦ προορισμοῦ, τοῦτο οὐ προέρχεται πάντας ἐκ τοῦ Θεοῦ τοῦ θέλοντος πάντας σωθῆναι, καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν· ἀλλὰ ἐκ τοῦ ἀνθρώπου τοῦ ἀπειθοῦντος μὲν τῇ ἀληθείᾳ, πειθομένου δὲ τῇ ἀδικίᾳ. Ἀληθῶς ὁ ἄνθρωπος ἕλκεται καὶ ἀνθέλκεται ἀναμέσον ἀγαθοῦ καὶ κακοῦ κείμενος· ἀλλὰ τοῦ ἀγαθοῦ χρωμένου πλείοσι καὶ κρείττοσιν ἐλατηρίοις ἢ

SISMANOGLIO MEGARO



τοῦ κακοῦ, ἀμφοτέρων δὲ μὴ βιαζομένων τὸ ἐλεύθερον, τίς πταίει, ἐὰν ὁ ἄνθρωπος μένῃ ἐν κακοῖς; Ἔτι ἀφοῦ ὁ ἄνθρωπος δελεασθεὶς ἢ ἀπατηθεὶς ἐμπέσῃ ἐν τῷ κακῷ, ὁ Θεὸς χορηγεῖ εὐσπλάγχνως τὰ μέσα τῆς ἀπαλλαγῆς· ὥστε ἀσπασάμενος τὸ κακόν, καὶ λαβὼν αὐτοῦ πεῖραν, καὶ μὴ βουλόμενος ἀρνήσασθαι αὐτό, καίτοι παρακαλούμενος, κρίνει ἄρα ἑαυτὸν ἄξιον τούτου, καὶ δίκαιον, ἵνα καὶ ὁ Θεὸς ἐγκαταλείψῃ αὐτὸν ἐν αὐτῷ· « Ἐγὼ εἶπα » Θεοί ἐςε, καὶ υἱοὶ ὑψίστου πάντες, ὑμεῖς δὲ ὡς ἄνθρωποι » ἀποθνήσκετε ». Καί, « ἄνθρωπος ἐν τιμῇ ὢν οὐ συνῆκε, » παρασυνεβλήθη τοῖς κτήνεσι τοῖς ἀνοήτοις, καὶ ὡμοιώθη » αὐτοῖς ». Νόησόν μοι ἤδη πλαστουργὸν ἔχοντα πρὸ αὐτοῦ ὕλην πηλοῦ, ὅσην ἂν βούληται, βουλόμενον δὲ μόνον ἐξ αὐτοῦ διαπλάσαι τοσαῦτα τίμια σκεύη, ὅσα ἐπαρκοῦσιν εἰς κόσμον ἧς ἔχει οἰκίας. Ἔτι νόησον ἐχθρὸν ἄνθρωπον ἀποπειρώμενον ματαιῶσαι τὴν πρόθεσιν, ἀλλ' ὅτι οὐ δύναται ἄλλο ποιῆσαι ἢ λυμαίνεσθαι τὸν πηλὸν ἐπιχέων ἐπ' αὐτοῦ ῥευστόν τι, δύναμιν ἔχον ἀνεπιτήδειον ποιῆσαι τὸν πηλὸν πρὸς διάπλασιν. Ὁ πηλὸς οὗτός ἐστιν ἡ διὰ τοῦ νόμου τῆς γενέσεως ἐν τῷ κόσμῳ εἰσερχομένη ἀνθρωπότης, πλαστουργός ἐςιν ὁ Θεός, ὁ Διάβολός ἐςιν ὁ λυμαινόμενος τὸν πηλὸν τῷ ἰῷ τῆς ἁμαρτίας, ὁ τρώγων γῆν πάσας τὰς ἡμέρας τῆς ζωῆς αὐτοῦ. Ὁ Διάβολος τὸν ἐρχόμενον εἰς τὸν κόσμον ἄνθρωπον, δύναμιν προαιρετικὴν οὖσαν, πειρᾶται μορφῶσαι κατὰ τὸν νόμον τῆς ἑαυτοῦ ἐνεργείας, τουτέστι, ποιῆσαι ἐνεργεῖν ἀσκόπως καὶ ἀτάκτως, καὶ μὴ κατὰ τὸν ὀρθὸν λόγον, καὶ μένειν τυφλὸν μὴ εἰδότα πόθεν ἔρχεται καὶ ποῦ ὑπάγει· ὁ Θεὸς ἀντὶ τοῦ σκότους τούτου ἐπιχέει τῷ ἀνθρώπῳ, δίκην φωτός, πνεῦμα συνειδήσεως, δι' οὗ δεικνυσιν αὐτῷ τὴν ἑαυτοῦ ἀμορφίαν καὶ ἀκοσμίαν, καὶ ἐρωτᾷ

ποικιλοτρόπως, εἰ βούλεται μορφωθῆναι καὶ κοσμηθῆναι κατ᾽ ἄλλον τύπον ὡραῖον καὶ τέλειον· ὁ ἄνθρωπος λοιπόν, εἰ φιλήσει ἑαυτὸν οὕτως ἀκόσμως ἔχοντα, καὶ οὐ στέρξει τὴν ἄνωθεν γέννησιν, μένει, ὡς ἔχει, ἄμορφος καὶ ἄκοσμος, ἐνεργῶν κατὰ τὸν νόμον τοῦ κακοῦ, ἤτοι ἀλόγως· τοὐναντίον, ἐὰν ἅμα συνειδὼς τὴν ἑαυτοῦ ἀμορφίαν καὶ ἀκοσμίαν μισήσῃ ἑαυτόν, καὶ ἐκζητήσῃ τὴν ἑαυτοῦ ἀνάπλασιν καὶ ἀναγέννησιν παρὰ τοῦ ὑπισχνουμένου ταύτην Δημιουργοῦ, εἰσάγεται εἰς τὸ ἐργαστήριον τῆς ἀναπλάσεως, ἐν ᾧ ἀναγεννηθεὶς δύναται ἔπειτα ὁρᾷν τὴν βασιλείαν τοῦ Θεοῦ καὶ τὸ ἑαυτοῦ κάλλος, μνήμην μόνον διασώζων τῆς πρώην αὐτοῦ ἀσχημίας. Συνθήκη λοιπὸν ἀπαραίτητος τῆς τοῦ πηλοῦ διαπλάσεως, συνθήκη ἀπαραίτητος τῆς ἐπιτυχίας τοῦ ἀνθρωπίνου προορισμοῦ, ὑπάρχει τὸ συνειδέναι τὸν πηλὸν τὴν ἑαυτοῦ ἀκοσμίαν, καὶ ζητῆσαι κοσμηθῆναι ὑπὸ τῆς χειρὸς ἐκείνης, ἥτις ἐκόσμησε τὸν οὐρανὸν καὶ τὴν γῆν. Ἐπ᾽ ἀληθείας δὲ καὶ ἡ πεῖρα δείκνυσιν ἀνθρώπους καλουμένους φιλαύτους, πλήρεις κακιῶν καὶ ἐλαττωμάτων, οἵτινες οὕτω φιλοῦσι τὰ ἑαυτῶν προσόντα, ὥστε οὐ μόνον οὐ στέργουσι τὴν μεταβολήν, ἀλλὰ καὶ βούλονται βαίνειν τὰ πάντα ἀναλόγως ἑαυτῶν, μέτρον ἑαυτοὺς ἡγούμενοι πάντων. Καὶ τοὐναντίον πάλιν, βλέπομεν ἀνθρώπους μεμφομένους ἑαυτούς, ὡς ἔχουσι, καὶ ζητοῦντας παντοιοτρόπως πρόσκτησιν κρειττόνων προσόντων, ὧν ἀμοιροῦσι, καὶ τούτους καλοῦμεν συνήθως ταπεινοὺς καὶ μετριόφρονας. Δυναμένου τοίνυν τοῦ νόμου τῆς γεννήσεως εἰσάγειν ἐν τῷ κόσμῳ ὕλην, ὅσην ἂν βούληται ὁ πλαστουργός· τῆς ὕλης ταύτης περιεχούσης τὰ ἀπαιτούμενα τῆς διαπλάσεως στοιχεῖα, τῆς περὶ αὐτὴν ἐνεργείας τοῦ Διαβόλου τελευτώσης εἰς ἀντίθετον ἀποτέλεσμα τῆς ἑαυτοῦ προθέσεως,

SISMANOGLIO MEGARO



τὰ τίμια σκεύη τῆς οἰκίας, ὅσα ἐπαρκοῦσιν, ἀναμφιβόλως κατασκευασθήσονται καλὰ λίαν, θαῦμα ἰδέσθαι. Εἶτα τό τε ἐργοστάσιον, οἵτε κακοὶ ἐν αὐτῷ ἐργάται, ὅτε ἐναπομείνας ἄμορφος πηλός, πάντα τὰ ἄχρηστα πεσοῦνται πτῶμα μέγα, καὶ βληθήσονται εἰς τὴν γέενναν καὶ εἰς τὸ πῦρ τὸ ἄσβεστον.

Καθὼς πρὸς τὴν ἐν γένει θεωρίαν πόλεώς τινος κει μένης ἔν τινι πεδίῳ ὁ θεατὴς ἀναβαίνει πρότερον ἐπ τινος ὑψηλῆς σκοπιᾶς, οὕτω καὶ ἡμεῖς, πρὶν ἢ ἐν γένε ἐξιστορήσωμεν τὴν μάχην τῶν ἀντιθέτων πόλεων, ἣν προϋπεσχέθημεν, ἠβουλήθημεν ἐξηγοῦντες δι᾽ εἰκόνων κα θεωριῶν τὴν φύσιν καὶ τὸν προορισμὸν τοῦ παρόντος κόσμου, τὴν φύσιν καὶ τὸν προορισμὸν τοῦ εἰσαγομένου ἐν αὐτῷ Διαβόλου, καὶ τὴν ἐπὶ πᾶσιν ἱερὰν πρόθεσιν τοῦ Θεοῦ, τοῦ τὰ πάντα ἐνεργοῦντος κατὰ τὴν βουλὴν τοῦ θελήματος αὐτοῦ, ἠβουλήθημεν, λέγω, ἀναβιβάσαι τὸν νοῦν ἐπ᾽ ὄρους τινὸς ὑψηλοῦ, ἵνα ἐκεῖθεν ῥᾳδίως βλέπῃ τὰ ἐν τῷ πεδίῳ δεικνύμενα, ἔχοντα ὧδε.

Δικάζων Κύριος ὁ Θεὸς τὴν ἐν τῷ Παραδείσῳ γενομένην ἀνομίαν, καὶ ἐπιβάλλων ἑκάστῳ ἐνόχῳ τὴν ἀνάλογον ποινήν, εἶπε, « Καὶ ἔχθραν θήσω ἀναμέσον σοῦ, » (τοῦ ὄφεως) καὶ ἀναμέσον τῆς γυναικός· καὶ ἀναμέσον » τοῦ σπέρματός σου, καὶ ἀναμέσον τοῦ σπέρματος αὐ» τῆς· αὐτός σου τηρήσει κεφαλήν, καὶ σὺ τηρήσεις αὐ» τοῦ πτέρναν ». Προλέγει τοίνυν ἡ ἀλάνθαστος Παγγνωσία τοῦ Θεοῦ, ὅτι ἡ διὰ τοῦ νόμου τῆς γεννήσεως ἐν τῷ κόσμῳ εἰσαχθησομένη ἀνθρωπότης, ἔμελλε διακριθῆναι εἰς δύο ἀντιθέτους μερίδας, τὴν μὲν καλουμένην σπέρμα ὄφεως, ὡς μορφουμένην κατὰ τὸν νόμον τῆς ἐνεργείας τοῦ κακοῦ, τὴν δὲ σπέρμα γυναικός, ὡς μορφουμένην κατὰ τὸν νόμον τῆς ἐνεργείας τοῦ Χριστοῦ, τοῦ λε-

γομένου σπέρμα γυναικός, διότι ἐγεννήθη ἐκ μόνης γυναικὸς ἄνευ σπέρματος ἀνδρός. Ὅτι αἱ ἀντίθετοι αὗται μερίδες ἔμελλον ἐχθρικῶς πρὸς ἀλλήλας καὶ πολεμίως διακεῖσθαι, ἡ μὲν στρατηγουμένη ὑπὸ τοῦ Χριστοῦ τηροῦντος τὴν κεφαλὴν τοῦ ὄφεως, ἡ δὲ ὑπὸ τοῦ Διαβόλου τηροῦντος τὴν πτέρναν τοῦ Χριστοῦ. Ἡ ἱστορία καὶ ὁ βίος τῆς ἀνθρωπότητος οὐκ ἔστιν ἄλλο ἢ πιστὴ παράστασις καὶ πραγματοποίησις τῶν ὀλίγων τούτων προφητικῶν λογίων, καὶ ἡμεῖς πρῶτον ὀφείλομεν ἰδεῖν, ὡς ἐπολέμησαν πρὸς ἀλλήλους οἱ ἀντικείμενοι στρατηγοί, εἶτα, καὶ ὡς πολεμοῦσιν οἱ ὑπ' αὐτοὺς τεταγμένοι.

Νόησόν μοι δύο στρατηγούς, τὸν μὲν ἰσχυρὸν ὥσπερ γίγαντα, θρασὺν ἅμα καὶ τολμητίαν, τὸν δὲ σοφὸν ἅμα καὶ κραταιόν· ἐκεῖνον μὲν ἔχοντα νόμον ἐνεργείας τὴν ἰσχὺν καὶ τὸ βίαιον, τοῦτον δὲ τὴν σοφίαν καὶ τὸ δίκαιον. Ὁποῖαι ἔσονται αἱ συνέπειαι; Δῆλον ὅτι ὁ ἰσχυρὸς γίγας σπασάμενος τὴν ἑαυτοῦ ῥομφαίαν ἄρξεται κατεξουσιάζειν πόλεις καὶ ὑποτάσσειν χώρας, ἕως ἂν κατακτήσῃ πᾶσαν τὴν γῆν, καὶ καταδυναστεύσῃ πάντων· τότε ἐπαρθήσεται ἐν ἑαυτῷ, καὶ νομιεῖ, ὅτι τὸ κράτος αὐτοῦ ἐστιν ἀκατάλυτον. Ἀλλ' ἐνῷ οὕτως οἴεται, ὁ σοφὸς στρατηγός, σοφίᾳ καὶ στρατηγήματι εἰσελθὼν εἰς τὴν τειχήρη καὶ ὀχυρὰν αὐτοῦ πόλιν, καθαιρεῖ αὐτὸν ἀπηνῶς τυραννοῦντα ἐν νόμῳ καὶ δικαιοσύνῃ, δεσμεύει, ἀτιμάζει ἐνώπιον πάντων τῶν ὑπηκόων, καὶ ἐκβάλλει αὐτὸν ἔξω. Οἱ δὲ καταδυναστευθέντες καὶ τυραννηθέντες θαυμάσαντες τὸν ἄνδρα, εὐγνωμονοῦντες ἐπὶ τῇ σωτηρίᾳ, ἀνακηρύττουσιν αὐτὸν βασιλέα, ἑκουσίως ὑποτασσόμενοι αὐτῷ, ὡς δικαίῳ καὶ σοφῷ ἄρχοντι. Τοιαύτης φύσεως τυγχάνει ἡ μεταξὺ Χριστοῦ καὶ Διαβόλου μάχη, ἣν ἀρχόμεθα ἱστορῆσαι.

Ὁ Διάβολος ὤφειλε πρῶτον πολεμῆσαι νεόπλαστον

SISMANOGLIO MEGARO



καὶ ἀπειρόκακον δημιούργημα, ὅπερ ἡττήθη ἀπατηθέν, ὡς μὴ λαβὸν ἔτι πεῖραν τοῦ κακοῦ, καὶ μὴ ἔχον ἐν τῇ διανοίᾳ γνῶσιν τῆς πονηρίας· ἐπειδὴ δὲ ἡ δικαιοσύνη τοῦ Θεοῦ, κατὰ τὸν Προφητάνακτα, ἐστὶν ὡς ὄρος, ἤτοι ἀμετάθετος καὶ ἀπαραβίαστος, ὁ παραβάτης ἄνθρωπος, κατὰ τὸν κείμενον ποινικὸν νόμον λέγοντα, « ᾗ δ' ἂν ἡμέρᾳ » φάγητε ἀπ' αὐτοῦ θανάτῳ ἀποθανεῖσθε, » ὤφειλεν ὑποστῆναι τὴν ποινὴν τοῦ θανάτου, καὶ οὐδεὶς ἄλλος ὤφειλεν εἶναι δήμιος, ἢ αὐτὸς ὁ Διάβολος. « Ἡ δύναμις τῆς » ἁμαρτίας, φησὶν ὁ Ἀπόστολος Παῦλος, ἐστὶν ὁ νόμος, » καὶ χωρὶς νόμου ἁμαρτία νεκρά ». Μὴ κειμένου νόμου, οὐκ ἂν ἠδύνατο ὁ Διάβολος ἐπηρεάσαι καὶ κρημνίσαι τὸν ἄνθρωπον, ἤτοι, ἦν ἂν νεκρὸς καὶ ἀνενέργητος· καὶ μὴ γενομένης παραβάσεως, οὐδὲν ἂν ἠδύνατο κατὰ τοῦ ἀνθρώπου. Ἡ ἐξουσία ἄρα τοῦ Διαβόλου ἐπὶ τοῦ ἀνθρώπου ἄρχεται καὶ θεμελιοῦται ἐπὶ τῆς παραβάσεως τοῦ θείου νόμου· ὁ γὰρ ἄνθρωπος ἐνεργήσας ἔξω τῶν ὅρων τῆς θείας Σοφίας ἐνήργησε κατὰ τὸν νόμον τοῦ κακοῦ, ἑπομένως ἐδουλώθη τῷ κακῷ, καὶ ἦν ἠναγκασμένος τοῦ λοιποῦ ἐνεργεῖν κατὰ τὸν νόμον αὐτοῦ, ὡς γέγραπται « οὐ » γὰρ ὃ θέλω τοῦτο πράσσω, ἀλλ' ὃ μισῶ τοῦτο ποιῶ »· Ἐπειδὴ δὲ τῷ παραπτώματι τοῦ ἑνὸς ἔνοχοι πάλιν, ὡς λέγει ὁ Παῦλος, κατεστάθησαν οἱ πολλοί, διότι κατὰ τὸν φυσικὸν νόμον τῆς γεννήσεως τὸν ἑρμηνευθέντα ἐν τῷ Ἀποκεκαλυμένῳ Θησαυρῷ, τὸ ὅμοιον παράγει τὸ ὅμοιον, καὶ οὐ δύναται τὸ γεννηθὲν εἶναι φύσεως ἑτέρας τῆς τοῦ γεννῶντος, ἡ ποινὴ τοῦ θανάτου ἐπεβλήθη ἐφ' ὅλης τῆς ἀνθρωπότητος· ἕκαστος δὲ ἄνθρωπος ἐρχόμενος εἰς τὸν κόσμον, βλέπων τοὺς ὁμοίους αὐτῷ ἀποθνήσκοντας, καὶ βεβαιούμενος, ὅτι καὶ αὐτὸς ἀναποφεύκτως ἔχει ἀποθανεῖν, ἐκυριεύετο ὑπὸ τοῦ φόβου

τοῦ θανάτου, καὶ ἡμάρτανε καθ' ὅλον αὐτοῦ τὸν βίον,
οὕτω λογιζόμενος, καθ' ἅ φησι Σολομών· « Ὀλίγος ἐςὶ
» καὶ λυπηρὸς ὁ βίος ἡμῶν, καὶ οὐκ ἔστιν ἴασις ἐν τε-
» λευτῇ ἀνθρώπου, καὶ οὐκ ἐγνώσθη ὁ ἀναλύσας ἐξ ᾅδου·
» ὅτι αὐτοσχεδίως ἐγεννήθημεν, καὶ μετὰ τοῦτο ἐσόμε-
» θα ὡς οὐχ ὑπάρξαντες· ὅτι καπνὸς ἡ πνοὴ ἐν ῥισὶν ἡ-
» μῶν, καὶ ὁ λόγος σπινθὴρ ἐν κινήσει καρδίας ἡμῶν· οὗ
» σβεσθέντος, τέφρα ἀποβήσεται τὸ σῶμα, καὶ τὸ πνεῦμα
» διαχυθήσεται ὡς χαῦνος ἀήρ· καὶ τὸ ὄνομα ἡμῶν ἐπι-
» λησθήσεται ἐν χρόνῳ, καὶ οὐδεὶς μνημονεύσει τῶν ἔρ-
» γων ἡμῶν· καὶ παρελεύσεται ὁ βίος ἡμῶν ὡς ἴχνη νε-
» φέλης, καὶ ὡς ὁμίχλη διασκεδασθήσεται διαχυθεῖσα ὑπὸ
» ἀκτίνων ἡλίου, καὶ ὑπὸ θερμότητος αὐτοῦ βαρυνθεῖσα.
» Σκιᾶς γὰρ πάροδος ὁ βίος ἡμῶν, οὐκ ἔστιν ἀναπόδησις
» τῆς τελευτῆς ἡμῶν· ὅτι κατεσφραγίσθη, καὶ οὐδεὶς
» ἀναστρέφει. Δεῦτε οὖν ἀπολαύσωμεν τῶν ὄντων ἀγα-
» θῶν, καὶ χρησώμεθα τῇ κτήσει ὡς νεότητος σπου-
» δαίως· οἴνου πολυτελοῦς καὶ μύρων πλησθῶμεν, καὶ
» μὴ παροδευσάτω ἡμᾶς ἄνθος ἔαρος· στεψώμεθα ῥό-
» δων κάλυξι πρὶν ἢ μαρανθῆναι, μηδεὶς ἡμῶν ἄμοιρος
» ἔστω τῆς ἡμετέρας ἀγερωχίας, πανταχῇ καταλίπω-
» μεν σύμβολα τῆς εὐφροσύνης, ὅτι αὕτη ἡ μερὶς ἡμῶν
» καὶ ὁ κλῆρος ἡμῶν. Καταδυναστεύσωμεν πένητα δί
» καιον, μὴ φεισώμεθα χήρας, μηδὲ πρεσβυτέρου ἐντρα-
» πῶμεν πολιὰς πολυχρονίους· ἔστω δὲ ἡμῶν ἡ ἰσχὺς
» νόμος δικαιοσύνης· (τὸ γὰρ ἀσθενὲς ἄχρηστον ἐλέγ-
» χεται)· ἐνεδρεύσωμεν τὸν δίκαιον, ὅτι δύσχρηστος ἡμῖν
» ἐςι, καὶ ἐναντιοῦται τοῖς ἔργοις ἡμῶν, καὶ ὀνειδίζει ἡμῖν
» ἁμαρτήματα νόμου, καὶ ἐπιφημίζει ἡμῖν ἁμαρτήματα παι-
» δείας ἡμῶν· ἐπαγγέλλεται γνῶσιν ἔχειν Θεοῦ, καὶ παῖδα
» Κυρίου ἑαυτὸν ὀνομάζει· ἐγένετο ἡμῖν εἰς ἔλεγχον ἐννοιῶν

SISMANOGLIO MEGARO



» ἡμῶν· βαρύς ἐστιν ἡμῖν καὶ βλεπόμενος, ὅτι ἀνό-
» μοιος τοῖς ἄλλοις ὁ βίος αὐτοῦ, καὶ ἐξηλλαγμέναι αἱ
» τρίβοι αὐτοῦ· εἰς κίβδηλον ἐλογίσθημεν αὐτῷ, καὶ ἀπέ-
» χεται τῶν ὁδῶν ἡμῶν, ὡς ἀπὸ ἀκαθαρσιῶν· μακαρί-
» ζει ἔσχατα δικαίων, καὶ ἀλαζονεύεται πατέρα ἔχειν
» Θεόν. Ἴδωμεν, εἰ οἱ λόγοι αὐτοῦ ἀληθεῖς, καὶ πειρά-
» σωμεν τὰ ἐν ἐκβάσει αὐτοῦ. Εἰ γάρ ἐςιν ὁ δίκαιος
» υἱὸς Θεοῦ, ἀντιλήψεται αὐτοῦ, καὶ ῥύσεται αὐτὸν ἐκ
» χειρὸς ἀνθεστηκότων· ὕβρει καὶ βασάνῳ ἐτάσωμεν αὐ-
» τόν, ἵνα γνῶμεν τὴν ἐπιείκειαν αὐτοῦ, καὶ δοκιμάσωμεν
» τὴν ἀνεξικακίαν αὐτοῦ. Θανάτῳ ἀσχήμονι καταδικάσω-
» μεν αὐτόν, ἔσται γὰρ αὐτοῦ ἐπισκοπὴ ἐκ λόγων αὐ-
» τοῦ. Ταῦτα ἐλογίσαντο καὶ ἐπλανήθησαν· ἀπετύφλωσε
» γὰρ αὐτοὺς ἡ κακία αὐτῶν, καὶ οὐκ ἔγνωσαν μυστή-
» ρια Θεοῦ, οὐδὲ μισθὸν ἤλπισαν ὁσιότητος, οὐδὲ ἔκριναν
» γέρας ψυχῶν ἀμώμων. Ὅτι ὁ Θεὸς ἔκτισε τὸν ἄνθρω-
» πον ἐπ' ἀφθαρσίᾳ, καὶ εἰκόνα τῆς ἰδίας αἰδιότητος ἐ-
» ποίησεν αὐτόν· φθόνῳ δὲ Διαβόλου θάνατος εἰσῆλθεν
» εἰς τὸν κόσμον, πειράζουσι δὲ αὐτὸν οἱ τῆς ἐκείνου με-
» ρίδος ὄντες ». Κατὰ τοὺς λογισμοὺς ἄρα τούτους, καθ'
οὓς διενοεῖτο ἐν γένει ἡ ἀνθρωπότης, πλὴν τινων ἐξαι-
ρέσεων, ἡ πρόσκαιρος αὕτη ζωὴ ἐθεωρεῖτο τὸ μέγιστον
ἀγαθόν, καὶ ὁ μετ' αὐτὴν θάνατος τὸ μέγιστον δεινόν·
ἡ δὲ διὰ παντὸς μέσου θεμιτοῦ τε καὶ ἀθεμίτου πλήρω-
σις τῶν σαρκικῶν ἐπιθυμιῶν, ὁ τελικὸς σκοπὸς τῆς πα-
ρούσης ὑπάρξεως. Οὕτω δέ, ὡς μαρτυρεῖ τῷ λόγῳ καὶ
ὁ θεῖος Παῦλος, « φόβῳ θανάτου διὰ παντὸς τοῦ ζῆν ἔνο-
χοι ἦσαν δουλείας ». Ἡ ἐξουσία ἄρα τοῦ Διαβόλου, θεμε-
λιωθεῖσα ἐπὶ τῆς παραβάσεως τοῦ νόμου, ἐστερεώθη καὶ
ἐκρατύνθη δυνάμει τῆς ποινῆς τοῦ νόμου· ὁ ἄνθρωπος
ἁμαρτήσας γέγονε θνητός· ὑπόδικος δὲ θανάτῳ ὢν διετέ-

λει ἁμαρτάνων. Σύμπασα τοίνυν ἡ ἀνθρωπότης εἰσερχομένη ἐν τῷ κόσμῳ φύσει ἁμαρτωλὸς καὶ θνητὴ ἦν, οὕτως εἰπεῖν, θῦμα ὑπὸ τὴν διάθεσιν τοῦ δημίου, ὅστις μεταδοὺς αὐτῇ, ὥςπερ λοιμώδη νόσον, τὴν ἔπαρσιν καὶ τὸν φθόνον, συνέχεε, συνέκρουε καὶ ἀλληλοκτόνει αὐτήν, καθὼς προηγουμένως ἐθεωρήσαμεν. Ἰδοὺ ἡ κατάκτησις καὶ ἡ δυναστεία τοῦ γίγαντος.

Ἀλλ' ὁ Χριστὸς τηρῶν κατὰ τὸ γεγραμμένον τὴν κεφαλὴν τοῦ ὄφεως, τουτέστι, γινώσκων ποῦ θεμελιοῦται, καὶ πῶς κραιύνεται ἡ ἐξουσία τοῦ Σατανᾶ, ἔπρεπε πάντως κατ' αὐτῆς ἵνα βάλῃ τὸν λίθον ἐν τῇ κατ' αὐτοῦ μάχῃ, καὶ οὐκ ἦν δυνατὸν ἀστοχῆσαι ἐρχόμενος ἄνωθεν. Ὁ Χριστὸς τῷ ὄντι προσέβαλε κατὰ κεφαλῆς τὸν Διάβολον πληρώσας πᾶσαν δικαιοσύνην, καὶ μὴ ἀφεὶς οὐδὲ κεραίαν τοῦ νόμου πεσεῖν· « Ἔρχεται γὰρ ὁ τοῦ κόσμου » τούτου ἄρχων, καὶ ἐν ἐμοὶ οὐκ ἔχει οὐδέν, ἔλεγεν ὁ » ἀναμάρτητος Υἱὸς τοῦ ἀνθρώπου, ὃν οὐδεὶς ἠδύνα» το ἐλέγξαι περὶ ἁμαρτίας ». Ὁ Διάβολος ὡς ὄφις ἕρπων ἐν τῇ γῇ, ἔβλεπε μόνον τὸν Χριστὸν ὡς ψιλὸν ἄνθρωπον, μὴ δυνάμενος ἰδεῖν τὴν κεφαλὴν αὐτοῦ, ἤτοι τὴν θεότητα, ἀλλὰ μόνον τὴν πτέρναν, ἤτοι τὴν ἀνθρώπινον σάρκα· ὁ Διάβολος, καθὼς ἐδίδαξε τοὺς πρωτοπλάστους πληρῶσαι τὴν ἔφεσιν τῆς θεώσεως ἐναντίως ἢ ὡς ὡρίσατο ὁ Θεός, οὕτως ἐδίδασκε καὶ τοὺς ἀνθρώπους πληροῦν τὰς ἐπιθυμίας τῆς σαρκὸς ἐναντίον τῶν ὅρων, οὓς τέθεικεν ὁ Δημιουργός· καὶ αὕτη ἐστὶν ἡ ἁμαρτία, συνέπειαν ἔχουσα τὸν θάνατον, καὶ ἐν τούτῳ συνίστατο ἡ ἐξουσία τοῦ Διαβόλου. Θεωρῶν ἄρα καὶ τὸν Χριστὸν ὡς ἄνθρωπον ἐν σαρκί, ἔδει πολεμῆσαι αὐτὸν διδάσκων τὴν πλήρωσιν τῶν ἐπιθυμιῶν ἐναντίον τῶν θείων ὅρων, οὓς οὐκ ἠδύνατο ἀθετῆσαι ὁ τὰ πάντα εἰδὼς Κύριος. Κα



σκόπει περιέργως τὸ εἶδος τοῦτο τῆς μάχης, ὡς ἱστόρησαν οἱ θεῖοι εὐαγγελισταί· « Νηστεύσας ὁ Κύριος ἡμέ» ρας τεσσαράκοντα ὕστερον ἐπείνασε, καὶ προσελθὼν » αὐτῷ ὁ πειράζων εἶπεν, εἰ Υἱὸς εἶ τοῦ Θεοῦ, εἰπέ, ἵνα » οἱ λίθοι οὗτοι ἄρτοι γένωνται ». Βλέπεις λοιπὸν ὅτι ὁ Διάβολος πλησιάζει, ἀρξαμένης τῆς σαρκικῆς ἐπιθυμίας, ἧς τὸν τρόπον τῆς πληρώσεως αὐτὸς ὑποβάλλει, λέγων, « Εἰπὲ ἵνα οἱ λίθοι οὗτοι ἄρτοι γένωνται, ἵνα φαγὼν » ἐμπλησθῇς ». Ἀλλ' ὁ Κύριος ἐμμένει ἐν τῷ γεγραμμένῳ ὅρῳ τοῦ Θεοῦ, « οὐκ ἐπ' ἄρτῳ μόνῳ ζήσεται ἄνθρω» πος, ἀλλ' ἐπὶ παντὶ ῥήματι ἐκπορευομένῳ διὰ στόμα» τος Θεοῦ »· ὡς εἰ ἔλεγεν, οὐ πληρῶ τὴν ἐπιθυμίαν μου καθὼς σὺ διδάσκεις, ἀλλὰ καθὼς διδάσκει ὁ Θεὸς ὁ δυνάμενος τρέφειν ἡμᾶς καὶ χωρὶς ἄρτων. Τὸ πρῶτον ἄρα τοῦτο βέλος ἔκφυγεν ἐτώσιον· « Τότε παρα» λαμβάνει αὐτὸν ὁ Διάβολος εἰς τὴν ἁγίαν πόλιν, καὶ » ἵστησιν αὐτὸν ἐπὶ τὸ πτερύγιον τοῦ ἱεροῦ, καὶ λέγει » αὐτῷ, εἰ Υἱὸς εἶ τοῦ Θεοῦ, βάλε σεαυτὸν κάτω· γέ» γραπται γάρ, ὅτι τοῖς ἀγγέλοις αὐτοῦ ἐντελεῖται περὶ » σοῦ, καὶ ἐπὶ χειρῶν ἀροῦσί σε, μήποτε προσκόψῃς πρὸς » λίθον τὸν πόδα σου· ἔφη αὐτῷ ὁ Ἰησοῦς, Πάλιν γέ» γραπται, οὐκ ἐκπειράσεις Κύριον τὸν Θεόν σου ». Ἕκαστος ἄνθρωπος ἐφίεται ἣν ἔχει ἱκανότητα ἐπιδεικνύειν ἔμπροσθεν τῶν ἀνθρώπων, καὶ λαμβάνειν παρ' αὐτῶν ἔπαινον. Ὁ νόμος οὗτος τῆς ἀνθρωπίνου φύσεως ἐπιφαίνεται εἰς πάντα τὰ ἀνθρώπινα, ἰδίως δὲ εἰς τοὺς παράδοξόν τινα δεξιότητα ἔχοντας, οἷον οἱ σχοινοβάται, οἱ τερατοποιοί, καὶ οἱ ὅμοιοι. Ὁ Διάβολος λοιπὸν κατατάσσων τὸν Κύριον εἰς ταύτην τὴν κατηγορίαν, διδάσκει αὐτὸν ἐπιδεῖξαι τερατώδη ἱκανότητα ἐνώπιον τῶν ἀνθρώπων, ὅπως ἐπαινεθῇ καὶ θαυμασθῇ. Καὶ πειρᾶται

πείθειν ἐκ τοῦ γράμματος τῆς Γραφῆς, ὅπερ ἀποκτείνει, κατὰ Παῦλον. Ἀλλ' ὁ Κύριος ἀρνεῖται τὸν τρόπον τοῦτον τῆς ἐκπληρώσεως τῆς ἐπιθυμίας, ὡς ἀπ' ἐναντίας ἔχοντα εἰς τὸν ὅρον, « οὐκ ἐκπειράσεις Κύριον τὸν Θεόν σου ». Ἤμβροτες πάλιν, Διάβολε, οὐδ' ἔτυχες· « Πάλιν παρα» λαμβάνει αὐτὸν ὁ Διάβολος εἰς ὄρος ὑψηλὸν λίαν, καὶ » δείκνυσιν αὐτῷ πάσας τὰς βασιλείας τοῦ κόσμου καὶ » τὴν δόξαν αὐτῶν, καὶ λέγει αὐτῷ, ταῦτα πάντα σοὶ δώ» σω, ἐὰν πεσὼν προσκυνήσῃς μοι. Τότε λέγει αὐτῷ ὁ « Ἰησοῦς, ὕπαγε, Σατανᾶ, γέγραπται γάρ, Κύριον τὸν » Θεόν σου προσκυνήσεις, καὶ αὐτῷ μόνῳ λατρεύσεις. Τό» τε ἀφίησιν αὐτὸν ὁ Διάβολος, καὶ ἰδοὺ ἄγγελοι προσ» ῆλθον καὶ διηκόνουν αὐτῷ ». Μέλλων ὁ Θεὸς ὑποστῆσαι τὸν Θεοειδῆ ἄνθρωπον, εἶπε, « ποιήσωμεν ἄν» θρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν, καὶ » ἀρχέτωσαν »... Διὰ τοῦτο ἡ ἐπιθυμία τῆς δόξης καὶ τοῦ ἄρχειν ἐστὶν ἡ ἰσχυροτάτη παρὰ πᾶσι τοῖς ἀνθρώποις (ἀλλ' οἱ ἄφρονες πειρῶνται πληροῦν αὐτὴν ὡς ὑποβάλλει ὁ Διάβολος, ἀλλ' οὐχὶ ὡς ὁ Θεός, ὁ ποιήσας αὐτήν)· καὶ μείζονα ταύτης παγίδα οὐκ εἶχεν ὁ Διάβολος στῆσαι κατὰ τοῦ Κυρίου· ὄντως ὁ Διάβολος ἐλέγετο ἄρχων τοῦ κόσμου τούτου, ὡς ἐνεργοῦντος καὶ πολιτευομένου κατὰ τὸν νόμον τῆς ἐνεργείας αὐτοῦ. Ὑπόσχεται λοιπὸν παραδοῦναι πάντα τῷ Χριστῷ, ἐπὶ τῷ ὅρῳ τοῦ ὑποταγῆναι τὸν Χριστὸν πρῶτον εἰς αὐτόν· ὢ τῆς πονηρίας! ὑπόσχεται δολίως δοῦναι, ἵνα λάβῃ. Προσκυνήσαντος γὰρ τοῦ Χριστοῦ, τότε καὶ Χριστὸς καὶ κόσμος ἑαυτοῦ ἐλογίζοντο· καὶ οὐ μόνον οὐκ ἐστερεῖτο ὃν εἶχε κόσμον, ἀλλὰ προσέκτα καὶ νέον ὑπήκοον. Νήπιος, ὃς οὐκ ᾔδει τὴν κεφαλὴν τῶν πάντων, ἀλλ' ᾤετο εἶναι πτέρναν, οὐδὲ ἐλογίζετο, ὅτι ἔμελλεν ἀληθῶς γυμνωθῆναι πάντων, οὐχὶ προσκυνηθείς, ἀλλὰ φυγαδευθείς. Ὕπαγε γάρ, ἤκουσε, Σατανᾶ, ὅτι γέγραπται « Κύριον τὸν Θεόν σου προσκυνήσεις, καὶ » αὐτῷ μόνῳ λατρεύσεις ». Καὶ οὕτως ὁ νέος Ἀδὰμ ἔλαβε τὴν ἐξουσίαν πάντων, προσκυνήσας οὕτω μόνον τὸν Κύριον πάντων· καὶ ὅπερ δολίως ὑπέσχετο ὁ Διάβολος, τοῦτο ἀληθῶς δέδωκεν ὁ Θεός. « Τότε γὰρ ἄγγελοι προσῆλθον καὶ διηκόνουν αὐτῷ »· ὅπερ ὑπαινίττεται, ὅτι ἐκόμισαν αὐτῷ καὶ τροφάς, καὶ ἐπῄνουν καὶ ἀνευφήμουν ἐπὶ τῇ νίκῃ, καὶ ὅτι ἅπας ἔκθαμβος ὁ πνευματικὸς κόσμος ἐθεώρει τὴν μάχην.



SISMANOGLIO MEGARO

« Καὶ ὑπέστρεψεν ὁ Ἰησοῦς ἐν τῇ δυνάμει τοῦ Πνεύ» ματος εἰς τὴν Γαλιλαίαν· καὶ φήμη ἐξῆλθε καθ' ὅλης » τῆς περιχώρου περὶ αὐτοῦ· καὶ αὐτὸς ἐδίδασκεν ἐν ταῖς » συναγωγαῖς αὐτῶν, δοξαζόμενος ὑπὸ πάντων ». Οὕτως ὁ Κύριος εἰσῆλθεν εἰς τὴν οἰκίαν τοῦ ἰσχυροῦ, καὶ ἀφοῦ πρῶτον ἔδησε τὸν ἰσχυρόν, τότε ἤρξατο τὴν οἰκίαν αὐτοῦ διαρπάζειν· τουτέστιν, πείθειν τοὺς ἀνθρώπους λόγῳ καὶ ἔργῳ προσέρχεσθαι αὐτῷ ἀγαθῷ ὄντι ἀρνουμένους τὸ κακόν. Ὀνειδιζόμενος γὰρ ὑπὸ τῶν Φαρισαίων, ὅτι ἐν Βεελζεβοὺλ ἄρχοντι τῶν δαιμονίων ἐκβάλλει τὰ δαιμόνια, ἀφοῦ δι' ὀρθοῦ συλλογισμοῦ ἐξήλεγξε τὴν ψευδῆ διαβολήν, ἔδειξεν ἐν ποίᾳ δυνάμει ἐκβάλλει τὰ δαιμόνια, εἰπών· « ὅταν ὁ ἰσχυρὸς καθωπλισμένος φυλάσσῃ τὴν » ἑαυτοῦ αὐλήν, ἐν εἰρήνῃ ἐστὶ τὰ ὑπάρχοντα αὐτοῦ· ἐπὰν » δὲ ὁ ἰσχυρότερος αὐτοῦ εἰσελθὼν νικήσῃ αὐτόν, τὴν » πανοπλίαν αὐτοῦ αἴρει, ἀφ' ᾗ ἐπεποίθει, καὶ τὰ σκῦλα » αὐτοῦ διαδίδωσιν· ὁ μὴ ὢν μετ' ἐμοῦ, κατ' ἐμοῦ ἐστι, » καὶ ὁ μὴ συνάγων μετ' ἐμοῦ σκορπίζει ». Ὑπαινίττεται τοίνυν ὁ Κύριος ἐν τοῖς λόγοις τούτοις, ὅτι ὁ Διάβολος ὅπλοις χρώμενος ταῖς σαρκικαῖς ἐπιθυμίαις ὠθεῖ τοὺς ἀνθρώπους ἔξω τοῦ λόγου καὶ τῆς ἀναλογίας, καὶ

ἦρχεν αὐτῶν, ὡς ἐπιβάλλων αὐτοῖς τὸν νόμον τῆς ἑαυτοῦ ἐνεργείας. Ἀλλ' ἡττηθεὶς ὑπὸ τοῦ ἰσχυροτέρου ἐν τῇ ἐρήμῳ ἀφῃρέθη ὑπ' αὐτοῦ τὴν πανοπλίαν, ἐφ' ᾗ ἐπεποίθει (νόησον πανοπλίαν τοὺς λογισμούς, δι' ὧν ὁ Διάβολος ὑποβάλλει τὴν πλήρωσιν τῶν ἐπιθυμιῶν, καὶ δι' ὧν ἔπειθε πάντας ἀνθρώπους, καὶ οἵτινες ἐματαιώθησαν ὑπὸ τοῦ Κυρίου, ὅστις δι' ἀντιθέτων λογισμῶν καθῄρεσε τὴν ἀλογίαν πᾶσαν)· ἐν δὲ τῷ τελευταίῳ χωρίῳ « ὁ μὴ ὢν μετ' ἐμοῦ κτλ. » ἐξηγεῖ σαφῶς, ὅτι Χριστὸς καὶ Διάβολός εἰσι δύο πρόσωπα ἀντιθέτου καὶ πολεμίας φύσεως, ὧν ὁ μὲν ἔργον ἔχει συνάγειν, ἤτοι συναρμολογεῖν καὶ σώζειν, ὁ δὲ σκορπίζειν, ἤτοι συγχέειν, συγκρούειν καὶ καταστρέφειν· καὶ ἐπομένως ὅτι ἦν ἀδύνατον φύσει ἐν Βεελζεβοὺλ ἄρχοντι τῶν δαιμονίων ἐκβάλλειν τὰ δαιμόνια. Ἀλλ' ὁ ὄφις, καίτοι καιρίως βληθεὶς τὴν κεφαλήν, πρὶν ἢ ἐκπνεύσῃ τελείως, περιστρέφει τὴν ἑαυτοῦ οὐράν, ἀποπειρώμενος ἔτι ποιεῖν τὸ δυνατόν. Ὁ Διάβολος ἡττημένος φυγὰς ἔχει ἔτι πολεμῆσαι ἐμμέσως τὸν Κύριον ὀργάνοις ἀξίοις ἑαυτοῦ χρώμενος, καθὼς ὁ ἐν τῷ πεδίῳ ἡττηθείς, περιχαρακωθεὶς ἐν φρουρίῳ ἢ ὄπισθεν τείχους, μάχεται. Ὁ Διάβολος οὐκ εἶχεν ἄλλο μηχανήσασθαι ἢ θανατῶσαι τὴν ἀναμάρτητον σάρκα ἐπὶ ψεύδει καὶ διαβολῇ, διανοηθεὶς ἐκεῖνο, ὅτι, ὡς ἀντίθεος καὶ κακοῦργος ὑπὸ τῶν διδασκάλων τοῦ Ἰουδαϊκοῦ ἔθνους ἐὰν θανατωθῇ καὶ ἐκποδὼν γένηται, δυσφημηθήσεται παρὰ τοῖς ἀνθρώποις, καὶ οὐ πιστεύσουσιν, ὅτι αὐτός ἐστιν ὁ Σωτὴρ τοῦ κόσμου, ὁ Χριστός· τοὐναντίον δέ, εἰ ἔζη οὕτω διδάσκων καὶ θαυματουργῶν, ἀναποφεύκτως πάντες ἔμελλον πιστεύσειν· καὶ ὅτι οὕτω διενοήθη, δῆλον ἐντεῦθεν· Ἀκούσαντες γὰρ οἱ Φαρισαῖοι τὴν ἐκ νεκρῶν ἀνάστασιν τοῦ Λαζάρου συνήγαγον συνέδριον καὶ ἔλεγον, Τί

SISMANOGLIO MEGARO



ποιοῦμεν; ὅτι οὗτος ὁ ἄνθρωπος πολλὰ σημεῖα ποιεῖ· ἐὰν ἀφῶμεν αὐτὸν οὕτω, πάντες πιστεύσουσιν εἰς αὐτόν ».

Ὁ Χριστὸς ἔλεγε πρὸς τοὺς Φαρισαίους, « ὑμεῖς ἐκ πατρὸς τοῦ Διαβόλου ἐστέ, καὶ τὰς ἐπιθυμίας αὐτοῦ θέλετε ποιεῖν πάντοτε ». Συνετῶς λοιπὸν νόει, ὅτι τὸ νόημα τῶν τέκνων ἦν κυρίως νόημα τοῦ πατρὸς Διαβόλου, καὶ ὅτι αὐτὸ ὅπερ διανοοῦνται οἱ Φαρισαῖοι συμβούλιον ποιήσαντες « ἐὰν ἀφῶμεν αὐτὸν οὕτω, πάντες πιστεύσουσιν εἰς αὐτόν » ἦν διανόημα τοῦ ὄφεως ἀσπαίροντος καὶ ἀγωνιῶντος ἔτι μετὰ τὸ ἐπικέφαλον πλῆγμα· « ἀλλ' ἐν τῇ παγίδι ταύτῃ, ᾗ ἔκρυψε, συνελήφθη ὁ ποὺς αὐτοῦ » ὡς προεῖπεν ὁ Προφήτης. Ἡ ποινὴ τοῦ θανάτου ἐπέκειτο μόνον τοῖς ἁμαρτήσασιν, ἣν ἀπηνῶς ἐνήργει ὁ δήμιος ἀποστάτης· ἀλλὰ θανατώσας ἄνδρα δίκαιον καὶ ἀναμάρτητον ἐνήργησεν ἔξω τῶν ὁρίων τῆς ἰδίας δικαιοδοσίας, καὶ ἀπώλεσεν ἐπομένως, ὅπερ ἐκέκτητο δικαίωμα. « Νῦν κρίσις τοῦ κόσμου τούτου ἐστίν, ἔλεγεν ὁ Κύριος κατὰ τὴν παραμονὴν τοῦ πάθους, νῦν ὁ ἄρχων τοῦ κόσμου τούτου ἐκβληθήσεται ἔξω »· ὁ δὲ δίκαιος ἀδίκως θανατωθείς, ἦν δίκαιον ὅπως ἀναστῇ, καὶ καταργήσῃ τοῦ θανάτου τὸ κράτος· διότι ὁ Χριστὸς ἀναστὰς ἐκ νεκρῶν ἐπληροφόρησε τὴν ἀνθρωπότητα, ὅτι ὁ ἐμμένων ἐν τῷ θείῳ νόμῳ τυγχάνει κρείττων τοῦ θανάτου, καὶ ὅτι μόνη ἡ τήρησις τῆς θείας ἐντολῆς ζωὴ αἰώνιός ἐστι· διὰ τοῦτο μετὰ τὴν ἐκ νεκρῶν ἀνάστασιν τοσαύτη ἀφοβία τοῦ θανάτου ἐγένετο τοῖς ἀνθρώποις, ὥστε τὰ στίφη τῶν μαρτύρων, ἵνα μὴ ποιήσωσι τὸ πονηρόν, συνωθοῦντο πρὸς τὸν θάνατον, ὡς εἰς εὐωχίαν. Ὅθεν ἡ ἐξουσία τοῦ Διαβόλου ἡ θεμελιωθεῖσα ἐπὶ τῇ παραβάσει τοῦ νόμου καὶ στερεωθεῖσα διὰ τοῦ φόβου τοῦ θανάτου, καταργεῖται ὑπὸ τοῦ Χριστοῦ διὰ τῆς τηρήσεως

τοῦ νόμου, καὶ τῆς ἐκ νεκρῶν ἀναστάσεως. Οὕτως ὁ σοφὸς ἡμῶν στρατηγός, καταθριαμβεύσας καὶ καταισχύνας τὸν ἔχθιστον, εἰσήλασεν ἐν θριάμβῳ τὰς ἀγγελοφρουρήτους πύλας τοῦ οὐρανοῦ, ἀνευφημούμενος καὶ προσκυνούμενος ὑπὸ πασῶν τῶν ἐπουρανίων δυνάμεων, δεξιούμενός τε καὶ ὑποδεχόμενος ὑπὸ τοῦ φιλοστόργου Πατρὸς λέγοντος « Κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχ-» θρούς σου ὑποπόδιον τῶν ποδῶν σου ». Γένοιτο δε Κύριε ἀνευφημῆσαί σε καὶ προσκυνῆσαι οὕτως καὶ πᾶσαν τὴν ἐπὶ γῆς οἰκοῦσαν ἀνθρωπότητα, ἧς ἐκλήθης ὁ αἰώνιος βασιλεύς, καὶ γενηθῆναι καὶ ἐπὶ τῆς γῆς τὸ θέλημα τοῦ Πατρὸς οὕτως, ὥσπερ ἐγένετο καὶ ἐν οὐρανῷ. Τοῦτο γάρ ἐςι τὸ θέλημα τοῦ Πατρός, πάντα εἶναι ὑποτεταγμένα ὑπὸ τὴν κυριαρχίαν σου, καὶ ὅσοι ἀντίκεινται τῷ θελήματι τούτῳ, θήσει αὐτοὺς καταπάτημα τῶν ποδῶν σου, ὡς ὤμοσέ σοι Κύριος καὶ οὐ μεταμεληθήσεται.

« Δεῦτε τοίνυν, ὦ λαοὶ τῆς γῆς, λάβετε ψαλτήριον καὶ κιθάραν, καὶ ᾄσατε τῷ Κυρίῳ ᾆσμα καινόν, ᾄσατε τῷ Κυρίῳ πᾶσα ἡ γῆ. Ἄσατε τῷ Κυρίῳ, εὐλογήσατε τὸ ὄνομα αὐτοῦ, εὐαγγελίζεσθε ἡμέραν ἐξ ἡμέρας τὸ σωτήριον αὐτοῦ. Ἀναγγείλετε ἐν τοῖς ἔθνεσι τὴν δόξαν αὐτοῦ ἐν πᾶσι τοῖς λαοῖς τὰ θαυμάσια αὐτοῦ· ὅτι μέγας Κύριος καὶ αἰνετὸς σφόδρα, φοβερός ἐστιν ὑπὲρ πάντας τοὺς θεούς· ὅτι πάντες οἱ θεοὶ τῶν ἐθνῶν δαιμόνια, ὁ δὲ Κύριος τοὺς οὐρανοὺς ἐποίησεν. Ἐξομολόγησις καὶ ὡραιότης ἐνώπιον αὐτοῦ, ἁγιωσύνη καὶ μεγαλοπρέπεια ἐν τῷ ἁγιάσματι αὐτοῦ. Ἐνέγκατε τῷ Κυρίῳ αἱ πατριαὶ τῶν ἐθνῶν, ἐνέγκατε τῷ Κυρίῳ δόξαν καὶ τιμήν, ἐνέγκατε τῷ Κυρίῳ δόξαν ὀνόματι αὐτοῦ. Ἄρατε θυσίας, καὶ εἰσπορεύεσθε εἰς τὰς αὐλὰς αὐτοῦ· προσκυνήσατε τῷ Κυρίῳ ἐν αὐλῇ ἁγίᾳ αὐτοῦ. Σαλευθήτω ἀπὸ προσώπου αὐτοῦ πᾶσα ἡ γῆ·

SISMANOGLIO MEGARO



εἴπατε ἐν τοῖς ἔθνεσιν, ὅτι Κύριος ἐβασίλευσε. Καὶ γὰρ κατώρθωσε τὴν οἰκουμένην, ἥτις οὐ σαλευθήσεται, κρινεῖ λαοὺς ἐν εὐθύτητι. Εὐφραινέσθωσαν οἱ οὐρανοί, καὶ ἀγαλλιάσθω ἡ γῆ, σαλευθήτω ἡ θάλασσα, καὶ τὸ πλήρωμα αὐτῆς, χαρήσεται τὰ πεδία, καὶ πάντα τὰ ἐν αὐτοῖς. Τότε ἀγαλλιάσονται πάντα τὰ ξύλα τοῦ δρυμοῦ ἀπὸ προσώπου Κυρίου, ὅτι ἔρχεται, ὅτι ἔρχεται κρῖναι τὴν γῆν. Κρινεῖ τὴν οἰκουμένην ἐν δικαιοσύνῃ, καὶ λαοὺς ἐν τῇ ἀληθείᾳ αὐτοῦ. Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν, ὅτι θαυμαστὰ ἐποίησεν ὁ Κύριος· ἔσωσεν αὐτὸν ἡ δεξιὰ αὐτοῦ, καὶ ὁ βραχίων ὁ ἅγιος αὐτοῦ· ἐγνώρισε Κύριος τὸ σωτήριον αὐτοῦ, ἐναντίον τῶν ἐθνῶν ἀπεκάλυψε τὴν δικαιοσύνην αὐτοῦ. Ἐμνήσθη τοῦ ἐλέους αὐτοῦ τῷ Ἰακώβ, καὶ τῆς ἀληθείας αὐτοῦ τῷ οἴκῳ Ἰσραήλ· εἴδοσαν πάντα τὰ πέρατα τῆς γῆς τὸ σωτήριον τοῦ Θεοῦ ἡμῶν. Ἀλαλάξατε τῷ Θεῷ πᾶσα ἡ γῆ, ᾄσατε καὶ ἀγαλλιᾶσθε κα ψάλατε· Ψάλατε τῷ Κυρίῳ ἐν κιθάρᾳ, ἐν κιθάρᾳ καὶ φωνῇ ψαλμοῦ, ἐν σάλπιγξιν ἐλαταῖς, καὶ φωνῇ σάλπιγγος κερατίνης. Ἀλαλάξατε ἐνώπιον τοῦ Βασιλέως Κυρίου· σαλευθήτω ἡ θάλασσα καὶ τὸ πλήρωμα αὐτῆς, ἡ οἰκουμένη, καὶ πάντες οἱ κατοικοῦντες ἐν αὐτῇ. Ποταμοὶ κροτήσουσι χειρὶ ἐπὶ τὸ αὐτό· τὰ ὄρη ἀγαλλιάσονται ἀπὸ προσώπου Κυρίου, ὅτι ἔρχεται, ὅτι ἥκει κρῖναι τὴν γῆν. Κρινεῖ τὴν οἰκουμένην ἐν δικαιοσύνῃ, καὶ λαοὺς ἐν εὐθύτητι. Ἀλαλάξατε τῷ Θεῷ πᾶσα ἡ γῆ, δουλεύσατε τῷ Κυρίῳ ἐν εὐφροσύνῃ, εἰσέλθετε ἐνώπιον αὐτοῦ ἐν ἀγαλλιάσει, γνῶτε ὅτι Κύριος αὐτός ἐστιν ὁ Θεὸς ἡμῶν, αὐτὸς ἐποίησεν ἡμᾶς, καὶ οὐχ ἡμεῖς· ἡμεῖς δὲ λαὸς αὐτοῦ καὶ πρόβατα νομῆς αὐτοῦ· εἰσέλθετε εἰς τὰς πύλας αὐτοῦ ἐν ἐξομολογήσει, εἰς τὰς αὐλὰς αὐτοῦ ἐν ὕμνοις ἐξομολογεῖσθε αὐτῷ. Αἰνεῖτε τὸ ὄνομα αὐτοῦ, ὅτι χρηστὸς Κύριος· εἰς τὸν

αἰῶνα τὸ ἔλεος αὐτοῦ, καὶ ἕως γενεᾶς καὶ γενεᾶς ἡ ἀλήθεια αὐτοῦ ».

Ἡ ἔχθρα καὶ ὁ πόλεμος τέθειται οὐ μόνον ἀναμέσον Χριστοῦ καὶ Βελίαρ, ἀλλὰ καὶ ἀναμέσον σπέρματος καὶ σπέρματος· ἑπόμενον ἄρα, μετὰ τὴν θεωρίαν τῆς στρατηγομαχίας, ἰδεῖν καὶ αὐτὴν τὴν στρατομαχίαν, τὸ αὐτὸ πάντως ἕξουσαν ἀποτέλεσμα.

Νόησόν μοι εὐρὺ πεδίον, ἐν ᾧ κεῖνται αἱ δύο ἐναντίαι πόλεις, ἡ Πονηρούπολις, καὶ ἡ Ἀγαθούπολις, ὧν τὴν φύσιν καὶ τὸν διοργανισμὸν ἀνωτέρω περιεγράψαμεν. Ὀφείλομεν διακρῖναι εἰς ἑκάστην τρία τινά. Ἄρχοντα, στρατιωτικὰς δυνάμεις, καὶ πολίτας. Ἡ Πονηρούπολις ἄρχοντα μὲν ἔχει ἐκεῖνον, ὃν ἡ Γραφὴ καλεῖ ἄρχοντα τοῦ κόσμου καὶ τοῦ σκότους, στρατιωτικὰς δὲ δυνάμεις ἔχει οὐ μόνον τὸ τάγμα τῶν πονηρῶν πνευμάτων, ἀλλὰ καὶ τοὺς ἐν τῷ νόμῳ τοῦ κακοῦ μορφωθέντας καὶ ἐνεργοῦντας· πολίτας δὲ πάντας τοὺς ἁμαρτήσαντας καὶ στερουμένους τῆς δόξης τοῦ Θεοῦ. Ἡ Ἀγαθούπολις ἄρχοντα μὲν ἔχει ἐκεῖνον, ᾧ δίδωκε Κύριος ὁ Θεὸς τὸν θρόνον Δαυὶδ τοῦ πατρὸς αὐτοῦ, καὶ βασιλεύσει ἐπὶ τὸν οἶκον Ἰακὼβ εἰς τοὺς αἰῶνας, καὶ τῆς βασιλείας αὐτοῦ οὐκ ἔσται τέλος· τούτου στρατιωτικαὶ δυνάμεις εἰσίν, οὐ μόνον πᾶσαι αἱ οὐράνιαι δυνάμεις τῶν ἁγίων Ἀγγέλων καὶ Ἀρχαγγέλων, ἀλλὰ καὶ πάντες οἱ προεγνωσμένοι καὶ προωρισμένοι σύμμορφοι τῆς εἰκόνος αὐτοῦ, οἱ μορφωθέντες καὶ ἐνεργοῦντες κατὰ τὸν νόμον τῆς ἐνεργείας τοῦ Ἀγαθοῦ· πολῖται δὲ πάντες οἱ μετανοοῦντες καὶ τὸ θεῖον ἔλεος ἐπικαλούμενοι. Τὸ πολίτευμα τῆς Πονηρουπόλεώς ἐστι τυραννικὸν καὶ δυναστικόν. Καὶ καθὼς ὁ τύραννος συναγαγὼν περὶ ἑαυτὸν ἀνθρώπους τὰς αὐτὰς αὐτῷ ἔχοντας ἐπιθυμίας, ἐσωτερικῶς μὲν δι' ὧν ἔχει δυ-

SISMANOGLIO MEGARO



νάμεων θύει καὶ ἀπολλύει, μεθύων ἐν τῷ αἵματι τῶν πολιτῶν, ἐξωτερικῶς δὲ μάχεται πρὸς τοὺς βουλομένους μόνον καθελεῖν αὐτὸν τῆς τυραννίδος, οὕτω καὶ ὁ Διάβολος ἐν τῇ Πονηρουπόλει, ὑπὸ τὴν ἑαυτοῦ διάθεσιν ἔχων ἀνθρώπους ἐπάρσει καὶ φθόνῳ συνουσιωμένους, καὶ μηδὲν ἄλλο ἢ λῃστεύειν καὶ τυραννεῖν ἐπιθυμοῦντας, δι' αὐτῶν μὲν μεθύει ἐν τῷ αἵματι τῶν δυστυχῶν πολιτῶν, μάχεται δὲ πρὸς τοὺς ἐπιχειροῦντας ἐξῶσαι αὐτὸν τῆς ἀνόμου ἀρχῆς. Τὸ δὲ πολίτευμα τῆς Ἀγαθουπόλεώς ἐστι πολίτευμα νόμιμόν τε καὶ βασιλικόν. Ταύτης ὁ βασιλεύς, δι' ὧν ἔχει στρατιωτικῶν ταγμάτων τάξει καὶ πειθαρχίᾳ κεκοσμημένων, ἐσωτερικῶς μὲν ἄρχει τῶν πολιτῶν, καὶ ὑποχρεοῖ πολιτεύεσθαι κατὰ τοὺς κειμένους νόμους, οὓς αὐτὸς πρῶτος τετήρηκε κατ' ἀκρίβειαν, ἐξωτερικῶς δὲ μάχεται πρὸς τοὺς ἐπιχειροῦντας λυμήνασθαι τὰ τῶν πολιτῶν δίκαιά τε καὶ συμφέροντα· ὁ ἔννομος βασιλεὺς ἀπεχθῶς τε καὶ πολεμίως ἔχων πρὸς τὸν ἅρπαγα καὶ ἄνομον τύραννον οἰκτείρει καὶ ἐλεεῖ τὰ θύματα τῆς τούτου ἀπηνείας, καὶ διανοηθήσεται τὴν ἐν νόμῳ καὶ δικαιοσύνῃ ἀπολύτρωσιν αὐτῶν· ὁ δὲ ἄνομος τύραννος ἀπηνὴς μὲν ὡς ὁ λύκος, δόλιος δὲ ὡς ἡ ἀλώπηξ, προνοήσει, ὅπως μὴ ἐκφύγῃ τῶν ὀνύχων ὅπερ ἐθηρεύσατο θήραμα. Δῆλον δ' ὅτι ἑκάτερος τοῖς πειθαρχοῦσιν αὐτῷ μεταδώσει τὰς ἑαυτοῦ διαθέσεις· καὶ οἱ μὲν Χριστοῦ θήσουσι κατὰ φρένα καὶ κατὰ θυμὸν τὴν σωτηρίαν τῶν ὁμοίων, ἤτοι τὴν μετάστασιν τῶν Πονηρουπολιτῶν ἀπὸ τῆς ἐξουσίας τοῦ σκότους εἰς τὴν βασιλείαν τοῦ Υἱοῦ τῆς ἀγάπης, καὶ τὸν ἀφανισμὸν τῆς Βαβυλῶνος· οἱ δὲ υἱοὶ τῆς ἀπειθείας, οἱ ἐνεργούμενοι ὑπὸ τοῦ πονηροῦ, προνοήσουσιν ὑπὲρ τῆς σωτηρίας τῶν παρ' αὐτοῖς καθεστώτων, ὃ οὐκ ἔστιν ἄλλο ἢ ἡ ἰδία αὐτῶν ἀπώλεια. Καθὼς γὰρ οἱ

μαχόμενοι περὶ τὸν τύραννον ἀγνοοῦσιν ὅτι μάχονται ὑπὲρ τοῦ ἑαυτῶν δημίου, οὗτινος πολλάκις πρῶτοι πίπτουσι θύματα, ἔνεστι γὰρ τοῦτο τῇ τυραννίδι νόσημα, τοῖς φίλοισι μὴ πεποιθέναι, ὡς εἶπέ τις τραγικὴ συνετὴ ῥῆσις· οὕτω καὶ οἱ κατὰ τὸν νόμον τοῦ κακοῦ ἐν ἀδικίᾳ πληροῦντες τὰς ἑαυτῶν ἐφημέρους ἐπιθυμίας, καὶ οἰόμενοι εὐτυχῆ τινα βιῶναι βίον, ἀγνοοῦσιν οἱ τάλανες ὅτι αὐτοχειριάζουσιν ἑαυτούς, καὶ ὅτι ἕπονται τῷ πορευομένῳ εἰς τὸ πῦρ τὸ ἐξώτερον σὺν τοῖς ἀγγέλοις αὐτοῦ· αὐτοὶ δὲ ἐν τῇ σκοτίᾳ ὄντες, καὶ μὴ εἰδότες πόθεν ἔρχονται καὶ ποῦ ὑπάγουσιν, ἀναγκαίως ἀγνοοῦσι καὶ τὸν προστάτην τοῦ σκότους, ὃς ἐτύφλωσε, κατὰ Παῦλον, τὰ νοήματα αὐτῶν εἰς τὸ μὴ αὐγάσαι αὐτοῖς τὸν φωτισμὸν τοῦ Εὐαγγελίου τῆς εἰρήνης, καὶ ἀπιστοῦσιν εἰς τὴν ὕπαρξιν τοῦ πειράζοντος, καὶ καλοῦσι προληπτικοὺς καὶ δεισιδαίμονας τοὺς εἰδότας αὐτὸν καὶ προφυλαττομένους ἀπ' αὐτοῦ· ὥστε ἐν τοιαύτῃ πλάνῃ ἐζωγρημένοι, ἀδύνατον τυχεῖν τῆς ἀπὸ τοῦ κακοῦ ἀπαλλαγῆς· τοὐναντίον δὲ τὰ τέκνα τοῦ φωτὸς ἐπιγινώσκουσιν ἑαυτούς τε καὶ τὸν ἑαυτῶν Κύριον, ἀπροσκόπτως βαίνοντες, καὶ χαίροντες κινούμενοι ἐναρμόνιον κίνησιν· «Καὶ γινώσκω τὰ ἐμά, καὶ γινώσκομαι ὑπὸ τῶν ἐμῶν, καὶ ὁ ἀκολουθῶν ἐμοὶ οὐ μὴ περιπατήσῃ ἐν τῇ σκοτίᾳ, ἀλλ' ἕξει τὸ φῶς τῆς ζωῆς». Στρατοὶ δὲ οὕτως ἐναντίοι, ἐναντίαν ἔχουσι καὶ πανοπλίαν ἑκάτερος. Καὶ τὰ μὲν στίφη τοῦ ἐχθροῦ ἐξώπλισται σοφιστείᾳ καὶ ὑλικῇ δυνάμει, ἡ δὲ φάλαγξ τοῦ Χριστοῦ λογικότητι, ῥήματι Θεοῦ, καὶ καρτεροψυχίᾳ· ἐκεῖνοι, ὅταν οὐ παραπείθωσι τῇ γλώσσῃ, ἐπιβάλλουσι τὰς χεῖρας κακῶσαι τὸ φθαρτὸν σαρκίον, ὅπερ μόνον δύνανται ἀποκτεῖναι· ἡμεῖς δὲ ἔχοντες ὅπλα οὐ σαρκικά, ἀλλὰ δυνατὰ τῷ Θεῷ εἰς τὸ καθαιρεῖν λογισμοὺς καὶ

SISMANOGLIO MEGARO



πᾶν ὕψωμα ἐπαιρόμενον κατὰ τῆς γνώσεως τοῦ Θεοῦ, ἡρωικῶς ἀνεχόμεθα τὰς σωματικὰς κακώσεις, καὶ οὐ μόνον οὐκ ἀποδίδομεν κακὰ ἀντὶ κακῶν, ἀλλὰ καὶ χαίρομεν ἐν τοῖς παθήμασιν εἰδότες, ὅτι οὕτως σφυραλατεῖ καὶ κατεργάζεται ὁ Θεὸς τὸν τίμιον αὐτῷ χρυσόν. Οὕτω δὲ συμβαίνει τῶν στρατῶν ἑκάτερον πολεμεῖν ἐπιθετικῶς τε ἅμα καὶ ἀμυντικῶς. Καὶ ἡμεῖς μὲν οἱ Χριστοῦ πολεμικὸν κήρυγμα ἐκφέροντες τὸ «Οὐκ ἔστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰς ἀρχάς, πρὸς τὰς ἐξουσίας, πρὸς τοὺς κοσμοκράτορας τοῦ σκότους τοῦ αἰῶνος τούτου, πρὸς τὰ πνευματικὰ τῆς πονηρίας ἐν τοῖς ἐπουρανίοις», ἔχοντες στόμα καὶ σοφίαν, ᾗ οὐ δυνήσονται ἀντιπεῖν οὐδὲ ἀντιστῆναι πάντες οἱ ἀντικείμενοι ἡμῖν, καταδιώκομεν τὴν πλάνην καὶ τὸ ψεῦδος, καὶ οὐκ ἀποστρεφόμεθα, ἕως ἂν ἐκλείψῃ· καὶ τῇ φανερώσει τοῦ φωτὸς διαλύομεν τὸ σκότος. Καὶ οὗτος ἡμῶν ὁ ἐπιθετικὸς πόλεμος. Οἱ δὲ ἐναντίοι, πλούσιοι καὶ ἰσχυροὶ κατὰ σάρκα, ἐπιτίθενται καθ' ἡμῶν ἐν ῥομφαίᾳ τε καὶ τόξῳ, οἷς οὐκ ἐπιτρέπεται κτᾶσθαι χρυσὸν καὶ ἄργυρον, καὶ φέρειν δύο χιτῶνας, καὶ κατέχειν ἐν τῇ χειρὶ ῥάβδον. Καὶ ἡμῶν μὲν ἐπιτιθεμένων, ὁ ἐχθρὸς ἀμύνεται σοφιστείᾳ καὶ ὑπεκφυγῇ, ἕως ἂν κατακρύψῃ ἑαυτὸν ἐν τοῖς ἀφεγγέσι κευθμῶσι τῆς ἀμφιβολίας καὶ τοῦ σκεπτισμοῦ, εἰς τὰ κατώτατα τοῦ Ἅδου ἀρκούμενος λέγειν, ὅτι δῆθεν καὶ ἐν ἡμῖν οὐκ ἔστιν ἀλήθεια, καθὼς καὶ ἐν ἐκείνῳ· ἐκείνων δέ, δίκην θηρίων, κατὰ τῆς σαρκὸς ἡμῶν ἐφορμώντων διαρραῖσαι μεμαώτων, ἡμεῖς ὥσπερ ἀνδριάντες ἱστάμεθα καρτεροῦντες, ἕως ἂν ὁ ἐχθρὸς ἀποκάμῃ ἐξαντλήσας πᾶσαν αὐτοῦ τὴν ἰσχύν, καὶ ἐλεγχθῇ μηδὲν δυνάμενος. Καὶ ἐν πᾶσι τούτοις, ἔν τε τῷ ἀμυντικῷ ἔν τε τῷ ἐπιθετικῷ πολέμῳ, ὑπερνικῶμεν διὰ τοῦ ἀγαπή-

σαντος ἡμᾶς, καὶ καταθριαμβεύομεν τοῦ ἐχθροῦ, ὅτι μείζων ἐστὶν ὁ ἐν ἡμῖν, ἢ ὁ ἐν τῷ κόσμῳ.

Νοήσαντες οὕτω ἐπὶ τοῦ πεδίου κειμένας τὰς ἀντιθέτους πόλεις, ἐν ἀντιθέτοις στοιχείοις, κατὰ πολιτεύματα ἀντίθετα διεξαγομένας, συννοοῦμεν ἀναγκαίως ὅτι οὐκ ἂν ἄλλως ἢ πολεμίως διακείσονται, καὶ πολεμήσουσιν ἀλλήλαις κατὰ τὸν ἀνωτέρω διαγραφέντα τοῦ πολέμου νόμον, ἕως ἂν ἡ ἑτέρα ἐκλείψῃ ἐνώπιον τῆς ἑτέρας· ἐπειδὴ δὲ ἀνωτέρω ἐθεωρήσαμεν τὴν μάχην τῶν στρατηγῶν, ἀνάγκη ὑποδεῖξαι ἐν ὀλίγοις ἤδη τὴν φύσιν τοῦ ἀποτελέσματος ἐκείνης, ἵνα γνῶμεν, τί λέλειπται κατορθῶσαι τοῖς στρατευομένοις τῷ Βασιλεῖ τῶν δυνάμεων.

Ἀποσπάσας ἅπαξ ὁ Διάβολος τὸν ἄνθρωπον ὀπίσω αὐτοῦ, πρὶν ἢ πολεμηθῇ ὑπὸ τοῦ Χριστοῦ, κατὰ τοὺς αἰωνίους νόμους τῆς δικαιοσύνης, παρεβιάζετο τὴν θέλησιν τοῦ ἀνθρώπου, ἀναγκάζων αὐτὸν ποιεῖν, ὃ οὐκ ἤθελε, καὶ ὃ ἐμίσει. Ἀλλ' ὅτε ἐγένετο ἡ κρίσις τοῦ κόσμου, καὶ ὁ ἄρχων αὐτοῦ ἐβλήθη ἔξω, ἔκτοτε ὁ Διάβολος ἀπώλεσε τὸ δικαίωμα τοῦ ἐπενεργεῖν ἀμέσως ἐπὶ τὴν θέλησιν καὶ παραβιάζειν, καὶ ἀφέθη μόνον ἔξωθεν λογισμοῖς ἐπηρεάζειν τὴν νόησιν. Ἔκτοτε ὁ Διάβολος ἐπισπᾷ ὀπίσω αὐτοῦ ἐκείνους μόνον, ὅσοι ἐνστερνίζονται τοὺς πονηροὺς λογισμοὺς τοῦ ποιῆσαι αὐτούς· ἔκτοτε, ὅσοι τῶν ἀνθρώπων ἐν κακοῖς ὄντες, βουληθῶσιν ἀρνήσασθαι τὸ κακόν, χαίρουσι πᾶσαν τὴν ἐλευθερίαν τῆς ἑαυτῶν θελήσεως, προνόμιον, οὗτινος πρότερον ἦσαν ἐστερημένοι· Οὕτως ὁ Κύριος δεσμεύσας τὴν σατανικὴν δυναστείαν, ἀφῆκε τὴν ἑαυτοῦ φάλαγγα λεηλατῆσαι καὶ σκυλεῦσαι τὴν Πονηρούπολιν κατὰ τὸν νόμον τῆς εὐεργεσίας καὶ τῆς πειθοῦς· ἤδη οἱ στρατιῶται τοῦ Χριστοῦ τὴν ἀλήθειαν καὶ τὴν πειθὼ φέροντες ἐπὶ γλώσσης, τὴν ἀγαθότητα

SISMANOGLIO MEGARO



δὲ καὶ τὴν ἀρετὴν ἐν τῇ πράξει, νουθετοῦσι πάντα ἄνθρωπον μετανοεῖν, ἤτοι ἐκκλίνειν ἀπὸ τοῦ κακοῦ καὶ προσκολλᾶσθαι τῷ ἀγαθῷ, καὶ πᾶς τις ἔχει τὸ δικαίωμα ποιῆσαι χρῆσιν τῆς ἰδίας ἐλευθερίας, εἴτε ὑπὲρ ἑαυτοῦ εἴτε καθ' ἑαυτοῦ. Ὁ δὲ ἐχθρὸς μὴ ἀποκάμνων τοῦ ποιεῖν τὰ παρ' ἑαυτῷ δυνατά, ὀργάνοις ἐπιτηδείοις χρώμενος, ἐπιπίπτει κατὰ τῆς ἱερᾶς φάλαγγος, ὁτὲ μὲν σοφιστείᾳ καὶ ψεύδει, ὁτὲ δὲ ἐν χαλεπαῖς τοῦ σώματος κακώσεσιν, ὅπερ μόνον ἐπιτέτραπται τοῖς πονηροῖς ἀποκτείνειν. Ἵνα δὲ μᾶλλον νοήσωμεν τὴν φύσιν τῆς διαμάχης τῶν ἀντιθέτων πόλεων, ὥσπερ καὶ τὴν ἔκβασιν αὐτῆς, ἀνάγκη γνῶναι, ὡς ἔχει πρὸς ἀμφοτέρας ὁ μείζων πάντων Πατήρ, ὁ κριτὴς ὁ δίκαιος, ὃς ἠγάπησε δικαιοσύνας, καὶ οἶδεν εὐθύτητα.

Ἐξηγοῦντες ἐν τῇ θεωρίᾳ τοῦ ἀκρογωνιαίου λίθου τῆς πόλεως Σιὼν τὴν σχέσιν τοῦ Θεοῦ ἐν γένει πρὸς πᾶσαν τὴν κτίσιν, ὡρισάμεθα ταύτην οὕτω· ὁ Πατὴρ ὑπέρτατος κριτὴς τῆς κτίσεως ἐν τῷ Λόγῳ αὐτοῦ, βραβευτής τε αὐτῆς ἢ τιμωρὸς ἐν ἁγίῳ Πνεύματι. Παραβάλλων οὖν τὴν Πονηρούπολίν τε καὶ Ἀγαθούπολιν πρὸς τὸν ὑπέρτατον νόμον τῆς ἑαυτοῦ ἐνεργείας, ἐκείνην μὲν ὡς παράνομον βδελύσσεται, ταύτην δὲ ὡς ἔννομον ἀσπάζεται· περὶ ἐκείνης μὲν διανοηθήσεται ἀφανισμόν, περὶ ταύτης δὲ ἔπαινον καὶ δόξαν· «Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου » κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑπο» πόδιον τῶν ποδῶν σου». Καθὼς λοιπὸν διανοεῖται ὁ ὕψιστος Νοῦς θεῖναι ὑποπόδιον πάντας τοὺς ἐχθροὺς τοῦ ἀγαπητοῦ Υἱοῦ καὶ Λόγου, οὕτως ἐπίσης διανοεῖται καθίσαι τοὺς φίλους αὐτοῦ ἐπὶ τοῦ θρόνου τῆς μεγαλωσύνης, ἐν τοῖς ὑψηλοῖς. Καὶ καθὼς πάλαι ποτὲ ἰδὼν Κύριος ὁ Θεός, ὅτι ἐπληθύνθησαν αἱ κακίαι τῶν ἀνθρώπων ἐπὶ τῆς γῆς, καὶ πᾶς τις διανοεῖται ἐν τῇ καρδίᾳ αὐτοῦ ἐπι-

μελῶς ἐπὶ τὰ πονηρά, διενοήθη καὶ εἶπεν, « Ἀπαλείψω
» τὸν ἄνθρωπον, ὃν ἐποίησα, ἀπὸ προσώπου τῆς γῆς »
καὶ ἐπήγαγεν ἀκολούθως τὸν κοσμολέτην ἐκεῖνον κατα-
κλυσμόν· οὕτω καὶ νῦν διανοεῖται περὶ τοῦ ἀφανισμοῦ
τῆς πονηρᾶς πόλεως. Καὶ καθὼς ὁ Κύριος ἔβρεξεν ἐπὶ
Σόδομα καὶ Γόμορα θεῖον καὶ πῦρ, καὶ κατέστρεψε τὰς
πόλεις ταύτας, καὶ πᾶσαν τὴν περίχωρον, καὶ πάντας τοὺς
κατοικοῦντας ἐν ταῖς πόλεσιν, καὶ τὰ ἀνατέλλοντα ἐκ τῆς
γῆς, ὅτι ὑψώθη ἡ κραυγὴ τῆς ἀνομίας αὐτῶν ἔναντι Κυ-
ρίου, οὕτως ἔσται καὶ τῇ γενεᾷ ταύτῃ τῇ μοιχαλίδι καὶ
ἁμαρτωλῷ, ὅτι οἱ νόμοι τῆς τοῦ Θεοῦ ἐνεργείας εἰσὶν οἱ
αὐτοί, καὶ ὁμοίως ἐν ταῖς ὁμοίαις περιστάσεσιν ἐνεργεῖ.
Ἀλλὰ καθὼς τότε, οὕτω καὶ νῦν προνοεῖ ὑπὲρ τῆς σωτη-
ρίας τῶν Νῶε καὶ τῶν Λώτ. Ἔστι νόμος τῆς τοῦ Θεοῦ
ἐνεργείας μὴ συναπολλύναι δίκαιον μετὰ ἀσεβοῦς, καὶ
χάριν δέκα δικαίων φείδεσθαι συμπάσης ἐνόχου πόλεως.
Ἀναβάλλεται τοίνυν ἡ κατὰ τῆς Πονηρουπόλεως δίκη καὶ
ὀργή, ἕως ἂν ὁ λαὸς τοῦ Κυρίου ἐξέλθῃ ἐξ αὐτῆς, ἵνα
μὴ συναπολεσθῇ ταῖς ἀνομίαις τῆς πόλεως. Διότι ἐν πά-
σαις ταῖς κοινωνίαις ταῖς διεξαγομέναις κατὰ τὸν νόμον
τῆς ἐπάρσεως καὶ τοῦ φθόνου, ἐν αἷς τὸ ὄνομα τοῦ νό-
μου καὶ τῆς δικαιοσύνης προφέρεται μόνον πρὸς τὸ θεαθῆ-
ναι, ἐν αἷς ἕκαστος διαβιοῖ οὐ δίκῃ, ἀλλὰ σκολιαῖς ἀπά-
ταις τεῖχος ὕψιον ἀναβὰς καὶ ἑαυτὸν περιφράξας, ἐν
πάσαις λέγω ταύταις, ὡς κρίνα μεταξὺ ἀκανθῶν, εὑρί-
σκονται ἄνδρες φιλοδίκαιοί τε καὶ μισοπόνηροι, μὴ συγ-
κοινωνοῦντες τοῖς ἔργοις τοῖς ἀκάρποις τοῦ σκότους, μᾶλ-
λον δὲ καὶ ἐλέγχοντες, ἐπὶ τὸν Θεὸν τὰς ἐλπίδας ἔχον-
τες· εὑρίσκονται ἔτι πλεῖστοι ἄλλοι οὐχὶ ἐκ προθέσεως
ἁμαρτάνοντες, ἀλλὰ παρασυρόμενοι ὑπὸ τοῦ χειμάῤῥου
τῆς ἀνομίας, καὶ ἐπιτηδείως ἔχοντες σωθῆναι, ἐὰν τύ-

SISMANOGLIO MEGARO



χωσι σωτῆρος· καθὼς λοιπὸν ὁ Θεὸς τότε διανοηθείς,
ἵνα ἀπαλείψῃ ἐκ προσώπου τῆς γῆς τὸν ἄνθρωπον, ὃν
ἐποίησεν, ἐφείσατο τοῦ Νῶε, καὶ ὑπέδειξεν αὐτῷ τὴν σω-
τηριώδη κιβωτόν, καθὼς πρὶν ἢ καταγάγῃ πῦρ ἐκ τοῦ
οὐρανοῦ κατὰ τῆς μιαρᾶς πόλεως, προεῖπε τῷ δικαίῳ
Λώτ, « Σώζων σῶζε τὴν σεαυτοῦ ψυχήν, εἰς τὸ ὄρος
» σώζου, μή ποτε συμπαραληφθῇς », οὕτω καὶ κατὰ τοὺς
παρόντας αἰῶνας, ἀντὶ τοῦ ὄρους δεικνύων τὸν λίθον ἐκεῖ-
νον, ὃς ἄνευ χειρὸς ἀνθρώπου ἐτμήθη ἀπὸ τοῦ ὄρους
Σιών, καὶ μετὰ τὸ πατάξαι τὴν εἰκόνα τοῦ παλαιοῦ ἀν-
θρώπου ἐγεννήθη ὄρος μέγα, καὶ ἐπλήρωσε πᾶσαν τὴν
γῆν· ἀντὶ δὲ κιβωτοῦ τὴν ἐπὶ τοῦ ὄρους ᾠκοδομημένην
ἁγίαν Ἐκκλησίαν, ἥτις οὐ δύναται κρυβῆναι, ὡς πόλις
ἐπάνω ὄρους κειμένη· ἐκκαλεῖται τοὺς βουλομένους σώ-
ζεσθαι ἐξελθεῖν ἐκ τῆς μεμισημένης Βαβυλῶνος, καὶ
προσδραμεῖν εἰς τὸν οἶκον τῆς καταφυγῆς. Ἀλλ' ὢ τῆς
θαυμασίας τῶν περιστάσεων ὁμοιότητος! Καθὼς τότε οἱ
γαμβροὶ τοῦ Λὼτ ἀκούοντες τοῦ πενθεροῦ λέγοντος « Ἀνά-
» στητε καὶ ἐξέλθετε ἐκ τοῦ τόπου τούτου, ὅτι ἐκτρίβει
» Κύριος τὴν πόλιν » ἔδοξε γελοιάζειν ἐναντίον αὐτῶν,
καὶ καθὼς ἐνεπαίζετο ὁ ναυπηγὸς τῆς Κιβωτοῦ, οὕτω καὶ
νῦν οἱ ἄνθρωποι τοῦ αἰῶνος τούτου ἡγοῦνται τὸ ῥῆμα
Κυρίου παιδαριῶδες μορμολύκιον, ἀγνοοῦντες ὅτι τὸ
χρηστὸν τοῦ Θεοῦ εἰς μετάνοιαν αὐτοὺς
ἄγει. Ἀλλ' ὥσπερ ἐκεῖνοι, οὕτως καὶ οἱ ὅμοιοι ἐκείνοις
ἄξια τῆς ἑαυτῶν ἀφροσύνης πείσονται. « Ἰδοὺ προήσο-
» μαι ὑμῖν ἐμῆς πνοῆς ῥῆσιν, φησὶν ἡ Σοφία ἐν βίβλῳ
» παροιμιῶν, διδάξω δὲ ὑμᾶς τὸν ἐμὸν λόγον. Ἐπειδὴ
» ἐκάλουν καὶ οὐχ ὑπηκούσατε, καὶ ἐξέτεινα λόγους καὶ
» οὐ προσείχετε, ἀλλὰ ἀκύρους ἐποιεῖτε ἐμὰς βουλάς, τοῖς
» δὲ ἐμοῖς ἐλέγχοις ἠπειθήσατε, τοιγαροῦν κἀγὼ τῇ ὑμε-

» τέρᾳ ἀπωλείᾳ ἐπιγελάσομαι, καταχαροῦμαι δὲ ἡνίκα » ἔρχηται ὑμῖν ὄλεθρος.... Ἐμίσησαν γὰρ Σοφίαν, » καὶ τὸν λόγον Κυρίου οὐ προείλαντο, οὐδὲ ἤθελον ἐμαῖς » προσέχειν βουλαῖς, ἐμυκτήριζον δὲ ἐμοὺς ἐλέγχους. » Τοίνυν ἔδονται τῆς ἑαυτῶν ὁδοῦ τοὺς καρπούς, καὶ » τῆς ἑαυτῶν ἀσεβείας πλησθήσονται· ἀνθ' ὧν γὰρ ἠδί» κουν νηπίους φονευθήσονται, καὶ ἐξετασμὸς ἀσεβεῖς » ὀλεῖ. Ὁ δε ἐμοῦ ἀκούων κατασκηνώσει ἐπ' ἐλπίδι, καὶ » ἡσυχάσει ἀφόβως ἀπὸ παντὸς κακοῦ ».

Τοιαύτης οὔσης τῆς σχέσεως τῆς Πονηρουπόλεως πρὸς τὴν αἰώνιον δικαιοσύνην, δῆλον ὅτι ἔργον τῶν ἐν Χριστῷ στρατευομένων ἐστὶν οὐ μόνον ἀμύνεσθαι καὶ μάχεσθαι, ἀλλὰ καὶ πρεσβεύεσθαι ὑπὲρ τῆς πρὸς τὸν Θεὸν καταλλαγῆς, παρακαλοῦντας τοὺς πονηρουπολίτας ἀπὸ τῶν ματαίων ἐπιστρέφειν ἐπὶ τὸν Θεὸν τὸν ὄντα, ζῶντα καὶ ἀληθινόν, καὶ γενέσθαι μακαρίους, ἐπειδὰν κατεργασθῶσι ἐν τῷ θεουργῷ ἐργαστηρίῳ· « Φέρομεν γὰρ ἐν ἡμῖν, φη» σὶν ὁ θεῖος Παῦλος, τὸν λόγον τῆς καταλλαγῆς, ὑπὲρ » Χριστοῦ οὖν πρεσβεύομεν, καταλλάγητε τῷ Θεῷ ». Καιρὸς ἤδη, ἀφοῦ ἔγνωμεν τὴν φύσιν τῆς ἔχθρας καὶ τοῦ πολέμου, ὃς τέθειται ἀναμέσον σπέρματος καὶ σπέρματος, ἀφοῦ ἔγνωμεν τὴν φύσιν τῶν ἐναντίων στρατῶν, ἑκατέρου τὰς προθέσεις, τὸν νόμον τοῦ μάχεσθαι, καὶ τὴν ἐπ' ἐσχάτων ἔκβασιν τῆς διαμάχης, στρέψαι τὸ βλέμμα ἐπὶ τοῦ ἱστορικοῦ πεδίου ἰδεῖν, ὅσα καὶ ὡς ἐγένετο μέχρι τοῦ σημείου, ἐφ' οὗ ἱστάμεθα νῦν, ὑπὸ τὴν καθόλου ἔποψιν.

Ὑμεῖς δὲ καθίσατε ἐν τῇ πόλει Ἱερουσαλήμ, ἕως οὗ ἐνδύσησθε δύναμιν ἐξ ὕψους, εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς μετὰ τὴν ἐκ νεκρῶν ἀνάστασιν· ἐκεῖνοι δέ, ἐπεὶ ἐνεδύθησαν, ἐξελθόντες ἐκήρυξαν πανταχοῦ τὸν λόγον, τοῦ Κυρίου



συνεργοῦντος καὶ τὸν λόγον βεβαιοῦντος διὰ τῶν ἐπακολουθούντων σημείων· ἀμήν.

Οὕτως ἡ δωδεκάριθμος φάλαγξ τῆς νέας Σιών, ἀφοῦ ἐνεδύσατο δύναμιν ἐξ ὕψους ἀόρατόν τε καὶ ἀφανῆ τοῖς γηίνοις ἀνθρώποις, παρεγένοντο εἰς τὴν Πονηρούπολιν πρεσβευόμενοι κατά γε ἔννοιαν ἐν τούτοις τοῖς ῥήμασι. Ἡμεῖς, ὦ ἄνδρες, πόλεώς ἐσμεν πλουσιωτάτης τε καὶ εὐδαιμονεστάτης, ἴσης τε καὶ ἀναλόγου, κακῶν τε καὶ δυστυχιῶν κρείττονος. Θησαυρῷ δὲ ἀδαπάνῳ χρώμενοι, ἐν αὐταρκείᾳ αὐτοὶ ὄντες, δεόμεθα μόνον συγκοινωνῶν τῆς αὐτῆς μακαριότητος· ἀλλ' ὑμεῖς τἀναντία ἢ ἡμεῖς ἔχετε. Στερούμενοι γὰρ τοῦ ὄντος ἀγαθοῦ, καὶ σκιᾷ τινι ὡς ἀγαθῷ χρώμενοι, οἷον πλούτῳ τε καὶ τοῖς τρέφουσι τὸ σῶμα ἐπί τινα χρόνον, μάχεσθε ἀλλήλοις περὶ αὐτῆς, ὡς ἀνεπαρκοῦς οὔσης πᾶσι, καὶ ἀπείροις κακοῖς ἑαυτοὺς περιβάλλετε, οἵτε νικῶντες, οἵτε ἡττώμενοι ἄθλιοι ἀποβαίνετε, οἱ μὲν τῇ πενίᾳ, οἱ δὲ τῇ καταχρήσει τοῦ δοκοῦντος ἀγαθοῦ. Καὶ οὐ μόνον ἤδη ταλαιπωρεῖσθε ἐν τούτοις τοῖς κακοῖς, ἀλλὰ καὶ μέλλετε δοῦναι δίκην τῇ αἰωνίῳ δικαιοσύνῃ, ἐφ' οἷς ἀλλήλους κακῶς ποιεῖτε. Ὑμεῖς οὖν συνειδότες ἔνθεν μὲν τὴν ἀφθονίαν τοῦ ἡμετέρου ἀγαθοῦ, ἔνθεν δὲ τὴν κατατρύχουσαν ὑμᾶς ἔνδειαν καὶ τὴν ἐπικειμένην ὑμῖν θείαν δίκην, ἐλέῳ καὶ οἴκτῳ πρεσβευόμεθα πρὸς ὑμᾶς, ὅπως, ἀρνησάμενοι τὴν πόλιν ταύτην, μεταστῆτε πρὸς τὴν πόλιν ἡμῶν, ἐν ᾗ ἄρχει αὐτὸ τὸ ἀγαθόν, ὑφ' οὗ καὶ ἀπεστάλημεν πρὸς ὑμᾶς πρεσβευταὶ καὶ ἀπόστολοι. Πηγὴ γὰρ αὐτὸ ἐλέους καὶ οἰκτιρμῶν καὶ φιλανθρωπίας ὑπάρχει, ὥστε ὡμοιώθη ὑμῖν, καὶ ἔπαθεν ὑπὲρ ἡμῶν, ἵνα σωθῶσι πάντες οἱ προσκολλώμενοι αὐτῷ. Ἐγγυώμεθα τοίνυν ὑμῖν, οὐ μόνον τὴν ποθητὴν μακαριότη-

τα, ἀλλ' ὅτι καὶ χαρισθήσονται ὑμῖν πάντα, ὅσα ἐποιήσατε παραπτώματα.

Τούτων οὕτω λεχθέντων, καὶ ἐν ἀποδείξει πνεύματος καὶ δυνάμεως πιστωθέντων, ὅσοι πένητες καὶ δοῦλοι, χαρᾷ καὶ ἀλαλαγμῷ ἐξορμήσαντες τῆς Πονηρουπόλεως, σὺν ἐλαχίστοις τῶν πλουσίων, παρεγένοντο εἰς τὴν Ἀγαθούπολιν, καὶ ἀπολουσάμενοι πᾶσαν τὴν ἐκ τῆς Πονηρουπόλεως κακίαν, ἐκλήθησαν πολῖται τῆς μακαρίας πόλεως, καταρτιζόμενοι ὡς πρόσθεν ἐξηγήσαμεν, πρὸς τὴν ἐντεῦθεν μετάβασιν εἰς τὰς οὐρανίους σκηνάς. Ὅσοι δὲ πλούσιοι καὶ δυνάσται ἀντεχόμενοι τῶν δοκούντων ἀγαθῶν, ἅτινα ἐκτήσαντο μόχθῳ καὶ πόνῳ καὶ κινδύνοις κατὰ τὸν νόμον τῆς ἀδικίας, συλλαβόντες τοὺς πρεσβευομένους, ὡς ἐπιβούλους τῆς ἑαυτῶν πόλεως καὶ τῶν καθεστώτων καθαιρέτας, ἔδειραν, ἐδέσμευσαν καὶ ἀπέκτειναν.

Ἀλλ' οἱ ἐκ τοῦ σκότους εἰς φῶς ὁδηγηθέντες, γευσάμενοι καὶ ἰδόντες ὅτι χρηστὸς ὁ Κύριος, μὴ ἀνεχόμενοι ὁρᾷν ἐν κακοῖς τοὺς ὁμοίους αὐτοῖς, πρεσβεύονται αὖθις πρὸς τοὺς πονηρουπολίτας, καὶ ἑαυτοὺς παράδειγμα προβαλλόμενοι, πείθουσιν ὅτι πλείστους μετοικῆσαι εἰς τὴν Ἀγαθούπολιν. Ὥστε οἱ ἄρχοντες τῆς Πονηρουπόλεως, ὁρῶντες οὕτω τὴν πόλιν αὐτῶν ὑποσκαπτομένην καὶ καταπίπτουσαν, ἐξοπλίζουσι τὴν ἑαυτῶν στρατιάν, καὶ οὐ μόνον νόμοις κωλύουσι τοῖς ἐναπομένουσι τὴν μετοίκησιν, ἀλλὰ καὶ ἐκστρατεύουσι κατὰ τῆς Ἀγαθουπόλεως, ἐπὶ τῷ ἐπαναγαγεῖν εἰς τὴν Αἰγύπτιον δουλείαν τοὺς ἀπ' αὐτῶν ἀποδράντας. Ἀλλ' οἱ Ἀγαθουπολῖται γενόμενοι, συνειδότες ὅτι μεταβεβήκασιν ἐκ τοῦ θανάτου εἰς τὴν ζωήν, καὶ ὅτι φύσει αὐτῶν ἡ ζωὴ ἀναφαίρετος παρὰ δειλαίων θνητῶν δυναμένων μόνον ἀποκτεῖναι τὸ σῶμα, ἐπιγελῶσι τοῖς ἐρχομένοις, καὶ ἐῶσιν αὐτοὺς λακτίζειν

SISMANOGLIO MEGARO



πρὸς κέντρα, καὶ πονεῖν μηδὲν ἑαυτοὺς ὠφελοῦντας, ἢ μᾶλλον εἰπεῖν, οὐδαμῶς τοῦ σκοποῦ ἐπιτυγχάνοντας. Συμβαίνει δὲ ἐκ τοῦ τοιούτου πολέμου λειποτακτεῖν πολλοὺς ἐκ τοῦ ἐχθρικοῦ στρατοπέδου, πεῖραν λαμβάνοντας τῆς ἀμάχου δυνάμεως, ἥτις οὐ δεῖται ὅπλων πρὸς τὴν ἑαυτῆς ὑπεράσπισιν. Τέλος ἀναγκάζονται οἱ ἄρχοντες τῆς Πονηρουπόλεως εἰς ἀνοχὴν καὶ εἰρήνην, ὅτι πολεμοῦντες ἑώρων ἀντίθετον οὗ ἐβούλοντο ἀποτέλεσμα. Καὶ αὕτη μὲν ἡ πρώτη πολεμικὴ περίοδος, καθ' ἣν ἡ μὲν θεία παρεμβολὴ τῆς παρατάξεως Κυρίου ἐπετέθη τοῖς πνευματικοῖς ὅπλοις κατὰ τῆς βεβήλου εἰδωλολατρείας, τὰ δὲ τέκνα τῆς πλάνης ἠμύνοντο σοφίσμασιν, ἐν τῷ λέγειν φύσει ἀδύνατον τὸν ἐσταυρωμένον εἶναι Θεόν, καὶ ὅτι ἡ παρ' αὐτοῖς παχυλὴ εἰδωλολατρεία ἦν ἀλήθεια ἀλληγορική· ἀλλ' ὡς ἀράχνης τοῦ ψεύδους διαλυομένου, καὶ τῆς ἀληθείας ἐμπεδουμένης, ὁ μὲν ἐχθρὸς ἐπετέθη, δίκην θηρίου, γήϊνον σάρκα ἵνα καταφάγῃ, ὡς ἀπ' αἰῶνος ἔλαβε τὴν κατάραν, οἱ δὲ γενναῖοι τοῦ Σταυροῦ ἥρωες ἐξήντλησαν τῇ καρτερίᾳ τοὺς δυνατοὺς τῆς γῆς, καὶ νενίκηται ἐν πᾶσιν ὁ πονηρός, καὶ κατεπατήθη ὑπὸ τοὺς πόδας τῶν ἁγίων, οἷς δέδοται πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ καὶ μὴ ἀδικεῖσθαι, θριάμβῳ δὲ καὶ νίκῃ κεκόσμηται ἡ Ἐκκλησία.

Ἀλλὰ τὸ δεύτερον δεινὸν κατ' αὐτῆς αἱ πύλαι τοῦ ᾅδου ἐξερεύγουσι πόλεμον, πόλεμον ὕπουλον καὶ ἐπικίνδυνον λίαν. Ὁ ἡττημένος ἐχθρὸς ὁρῶν, ὅτι τὸ σκότιον ἔργον τῆς ἑαυτοῦ πανουργίας ἐν οὐ πολλῷ χρόνῳ ἐκλείψει ὡσεὶ καπνὸς ἀπὸ προσώπου τῆς γῆς, πολεμούμενον ὑπὸ τῆς νέας Σιὼν λόγῳ καὶ ἀρετῇ ἐξωπλισμένης, διενοήθη ὅτι οὐχ ἕξει τοὐλάχιστον διάρκειαν ἡ ἐξουσία αὐτοῦ ἄλλως, καὶ οὐ παύσεται ἡ κραταιὰ πόλις σκυλεύουσα τὴν ἑαυτοῦ

οἰκίαν, ἐὰν μὴ αὐτὸς μετασχηματισθεὶς εἰς ἄγγελον φωτός, καὶ διακόνοις χρώμενος μετεσχηματισμένοις εἰς διακόνους δικαιοσύνης, εἰσαγάγῃ ἐν τῇ Ἐκκλησίᾳ λάθρα καὶ ἀφανῶς ἀντὶ τοῦ λόγου τὴν πλάνην, ἀντὶ τῆς ἀρετῆς τὴν φαυλοβιότητα· ὑπεισέρχεται τοίνυν ἐν τῇ Ἐκκλησίᾳ ἐν ἐνδύμασι προβάτου, παρεισάγει τὸ ἑαυτοῦ σπέρμα ἐπίσης μετεμφιεσμένον, καὶ ἀναβὰς τὰς διδασκαλικὰς καθέδρας διδάσκει τὰ ἑαυτοῦ ἐν ὀνόματι Χριστοῦ· ὦ Κύριε, ὅσα ἐπονηρεύσατο ὁ ἐχθρὸς ἐν τῷ ἁγίῳ σου! Τίκτει αἱρέσεις ἀπωλείας, καὶ διεγείρει ἐν τῇ Ἐκκλησίᾳ δεινὸν πόλεμον, ἐμφύλιον μὲν κατὰ τὸ φαινόμενον, τῇ δ' ἀληθείᾳ ἀλλόφυλον, τῶν γνησίων Σιωνιτῶν τοῖς νόθοις τε καὶ παρεισάκτοις πολεμούντων. Τὸ μηχάνημα τοῦτο τοῦ ἐχθροῦ προειδὼς ὁ στρατηγὸς τῆς ἀγαθῆς μερίδος, καθὼς καὶ τὰ ἐκλεκτὰ αὐτοῦ σκεύη, προεξησφάλιζον τὴν Ἐκκλησίαν τοιαῖς δέ τισι παραινέσεσι· « Προσέχετε ἀπὸ τῶν ψευδοπροφητῶν, οἵτινες ἔρχονται » ἐν ἐνδύμασι προβάτου, ἔσωθεν δέ εἰσι λύκοι ἅρπαγες. » Μὴ παντὶ πνεύματι πιστεύητε, ἀλλὰ δοκιμάζετε τὰ » πνεύματα εἰ ἐκ τοῦ Θεοῦ εἰσι. Βλέπετε τοὺς κακοὺς » ἐργάτας, βλέπετε τὴν κατατομήν. Αὐτὸς γὰρ ὁ Σα» τανᾶς μετασχηματίζεται εἰς ἄγγελον φωτός, οὐδὲν δὲ » θαυμαστόν, εἰ καὶ οἱ διάκονοι αὐτοῦ μετασχηματίζονται » ὡς διάκονοι δικαιοσύνης. Ἐγὼ γὰρ οἶδα, ὅτι μετὰ τὴν » ἔξοδόν μου εἰσελεύσονται λύκοι βαρεῖς μὴ φειδόμενοι » τοῦ ποιμνίου ». Ἀλλά, διὰ τὸ καθεύδειν τοὺς ἀνθρώπους καὶ φύλακας τοῦ ἀγροῦ, ὥς φησιν ἡ Εὐαγγελικὴ τοῦ Κυρίου παραβολή, ἦλθεν ὁ ἐχθρὸς καὶ ἔσπειρε ζιζάνια ἀναμέσον τοῦ σίτου καὶ ἀπῆλθεν. Ἡ Ἐκκλησία ἔδει πάντως θριαμβεῦσαι κατὰ πασῶν τῶν αἱρέσεων, ὅτι πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐ-



τῆς, ἀλλ' ὑπέστη κλυδωνισμοὺς καὶ σάλους, ὁποίους ποτὲ καὶ ἡ ἀποστολικὴ ναῦς διαπερῶσα τὴν λίμνην Γεννησαρέτ. Ὁ Διάβολος διαιρέσας τὴν ἑαυτοῦ παράταξιν εἰς δύο πτέρυγας, τῇ μὲν δεξιᾷ ὑποκριτικῶς εἰσέδυ ἐν τῇ Ἐκκλησίᾳ, καὶ ἐμάχετο ἐν αὐτῇ, τῇ δ' εὐωνύμῳ κατεῖχεν ἔτι ἐν τοῖς δεσμοῖς ὅσοι οὐκ ἔφθασαν διαδράναι. Οἱ δὲ ἄοκνοι τοῦ ἐργαστηρίου ἐργάται μαχόμενοι κατὰ τῶν αἱρέσεων, οὐκ εἶχον εὐκαιρίαν πρὸς κατεργασίαν καὶ παίδευσιν τῆς ἐν τῷ ἐργαστηρίῳ εἰσρευσάσης πολυπληθεστάτης ὕλης, καὶ ἦν μὲν θερισμὸς πολὺς κατὰ τὸ γεγραμμένον, ἐργάται δὲ ὀλίγοι. Οἱ ἀληθεῖς ποιμένες καὶ διδάσκαλοι ἀπασχολούμενοι εἰς τὴν δίωξιν τῶν λύκων καὶ λῃστῶν, οὐχ ηὐκαίρουν ἄγειν τὰ πρόβατα εἰς τὰς προσηκούσας νομάς, καὶ ἐκτρέφειν ἐν νομῇ χλοηφόρῳ· ἦν ἄρα ἑπόμενον παρακολουθεῖν τῇ αἱρέσει καὶ τῇ πλάνῃ τὴν φαυλοβιότητα, θυγατέρα καὶ ταύτην τοῦ ψευδοπάτορος. Οἱ δῆμοι καὶ οἱ λαοὶ ἀρνησάμενοι τὴν μιαρὰν εἰδωλολατρείαν, καὶ ἀσπασάμενοι τὴν ἁγίαν πίστιν, εἶχον τὰς πονηρὰς ἕξεις τοῦ ἐθνικοῦ ἐκείνου βίου, ἃς ὤφειλον ἀπομαθεῖν χρόνῳ, παιδεύσει καὶ διδασκαλίᾳ· ἀλλὰ τοῦ ἔργου ἀναβληθέντος, ἕως ἂν ἀποκρουσθῇ ὁ περὶ τῶν ὅλων κίνδυνος, οἱ λεγόμενοι χριστιανοὶ ἐφαίνοντο μὴ μετέχοντες τῆς χριστιανικῆς ἁγιότητος, τὰ τῆς σαρκὸς μᾶλλον ἢ τὰ τοῦ πνεύματος φρονοῦντες. Τὸ δὲ πνεῦμα τῆς συγχύσεως καὶ τῆς πλάνης τὴν μὲν αἵρεσιν ἀπεδίδεν εἰς τὸ σκοτεινὸν καὶ ἀκατάληπτον τῆς θείας ἀληθείας, τὴν δὲ φαυλοβιότητα εἰς τὸ ἀσθενὲς τῆς πίστεως καὶ τῆς χάριτος, ὡς μὴ δυναμένης δῆθεν κατισχῦσαι τῆς ἀνθρωπίνης διαφθορᾶς, καὶ ὡς ἔμπειρος σοφιστής, τῷ ἀναιτίῳ ἀντὶ τοῦ αἰτίου χρώμενος, συνέχεε τὰς διανοίας, αἵτινες οὐκ ἠδύναντο γνῶναι τὴν ἀληθῆ τῶν φαινομένων αἰτίαν·

Ὅθεν οἱ διαμένοντες ἐθνικοί, ἔνθεν μὲν ὁρῶντες τοὺς χριστιανοὺς ὑπὸ τῶν αἱρέσεων διῃρημένους, ἔνθεν δὲ βλέποντες βίον μὴ πάνυ τοῦ ἑαυτῶν διαφέροντα, οὐ μόνον οὐχ εἵλκοντο πρὸς εὐσέβειαν, ἀλλὰ καὶ διέβαλλον τὰ ἡμέτερα. Ἀλλὰ καὶ οὕτως ἐχόντων τῶν πραγμάτων, ἡ παντελὴς πτῶσις τῆς εἰδωλολατρείας καὶ ἡ ἐπὶ τοὺς λαοὺς ἐπίκλησις τοῦ ὀνόματος τοῦ Χριστοῦ ἦν ἀναπόφευκτος ἀνάγκη. Φύσει μιμητικὸν ὁ ἄνθρωπος καὶ ἀσπάζεται ἀεὶ τὴν ἐπικρατοῦσαν ἰδέαν, εἰ καὶ μὴ ἐννοεῖ ταύτην. Οἱ λαοί, εἰ καὶ μὴ ἐνενόησαν τὴν φύσιν τῆς χριστιανικῆς ἀληθείας, ἔφθασαν ὅμως γνῶναι, ὅτι ἡ εἰδωλολατρεία ἦν παχυλὴ πλάνη, καὶ ἑπομένως ἐφιλοτιμοῦντο μᾶλλον λέγεσθαι χριστιανοὶ ἢ ἐθνικοί, ἀφοῦ ἅπαξ καὶ οἱ βασιλεύοντες ἐκλήθησαν τῷ ὀνόματι τούτῳ. Καὶ ἐγένετο, οὕτως εἰπεῖν, τὸ πλάτος τοῦ χριστιανισμοῦ ἐν ἀντιστρόφῳ λόγῳ πρὸς τὸ βάθος, πολλῶν μὲν λεγομένων χριστιανῶν, οὐσιωδῶς δὲ ὀλίγων ὄντων, ὡς καὶ ὁ Κύριος ἀπεφαίνετο ἐν Εὐαγγελίοις λέγων. *Πολλοὶ μέν εἰσι κλητοί, ὀλίγοι δὲ ἐκλεκτοί.* Ἀλλὰ κατακοπείσης τῆς αἱρετικῆς τοῦ Διαβόλου σπείρας τῇ ὀξείᾳ τοῦ Πνεύματος μαχαίρᾳ, μέγα δυναμένῃ ἐν χερσὶν ἀνδρῶν ἡρώων, ὁ σοφὸς εἰς τὸ κακοποιῆσαι Διάβολος τοιόνδε τι οὐχ ἧττον δεινὸν ἀντεμηχανήσατο. Καθώς, ἵνα διαδώσῃ καὶ κρατύνῃ τὴν αἵρεσιν, ἐν τῷ καθεύδειν τοὺς ἀνθρώπους, ἀνήγαγεν εἰς τὰς διδασκαλικὰς ἕδρας, τοὺς καθ᾽ ὑπόκρισιν ψευδολόγους, παρομοίως, ἵνα κατέχῃ τοὺς ἀνθρώπους δεδεμένους ἐν ταῖς ἐπιθυμίαις τῆς σαρκὸς καὶ τῷ φαύλῳ βίῳ, ἐνεθρόνησεν ἐν ταῖς ὑψηλαῖς τῶν ἐπισκόπων περιωπαῖς τοὺς ἡγουμένους *πορισμὸν εἶναι τὴν εὐσέβειαν.* Πολλοὶ τῶν κατεχομένων ὑπὸ τοῦ πνεύματος τῆς φιλοχρηματίας καὶ τῆς κενοδοξίας ἐπεθύμησαν τοῦ καλοῦ ἐπισκο-

ΣΙΣΜΑΝΟΓΛΕΙΟ ΜΕΓΑΡΟ



πικοῦ ἔργου, ἐπὶ τῇ πληρώσει τῶν ἰδίων ἐπιθυμιῶν, καὶ οὐχὶ ἐπὶ τῇ διακονίᾳ τοῦ πλησίον. Εἰσῆλθον δὲ εἰς τὴν αὐλὴν τῶν προβάτων οὐχὶ διὰ τῆς θύρας, τουτέστιν, οὐχὶ μαρτυρούμενοι ὡς ἔχοντες τὴν ἐπίγνωσιν τοῦ θείου λόγου, ἀλλὰ κοσμικοῖς ἄρχουσι χρησάμενοι καὶ χρημάτων δωροδοκίᾳ. Συνεπῶς τοίνυν πάντα τὰ κακὰ τῆς Πονηρουπόλεως, ἐν ᾗ θηρεύεται τὸ δοκοῦν ἀγαθόν, ὤφειλον ἀναφανῆναι καὶ ἐν τῇ Ἐκκλησίᾳ, καὶ νομισθῆναι κατ᾽ ἐνέργειαν τῆς πλάνης, ὡς ἔκγονα ταύτης· ἀλλ᾽ ἄπαγε τῆς ἀφροσύνης! Ἡ ἁγία Ἐκκλησία, ὡς ἔχει φύσεως, ἐστὶν ἄγονος κακῶν, παρθένος ἁγνή, μὴ ἔχουσα μῶμον ἢ ῥυτίδα, ἤ τι τῶν τοιούτων. Οἱ πονηρουπολῖται μετάστασιν ὑποκριθέντες εἰς τὴν Ἀγαθούπολιν, μεθ᾽ ἑαυτῶν φέροντες τὸ φρόνημα τῆς σαρκός, καὶ τὰς ἕξεις, ἃς εἶχον ἐν ἐκείνῃ, ἐθεωρήθησαν ὡς μέλη γνήσια τῆς Ἐκκλησίας, τῇ δ᾽ ἀληθείᾳ τραγέλαφοι ὄντες, καὶ προσήφθη κατ᾽ αὐτῆς ὁ μῶμος ἐκείνων, ἥτις ἀκριβῶς μόνον ὁρᾶται καὶ γινώσκεται ὑπὸ τοῦ θείου ὀφθαλμοῦ, ὡς γέγραπται, *ὀφθαλμοὶ Κυρίου ἐπὶ δικαίους.* Ἡμεῖς δὲ νόμον δικαιοσύνης καὶ κρίσεως τηροῦντες, εἰδότες τὸ κακὸν κακοῦ γέννημα, καὶ τὸ ἀγαθὸν ἀγαθοῦ, τὰ τῆς Πονηρουπόλεως τῇ Πονηρουπόλει ἀπονέμομεν, καὶ τὰ τῆς Ἀγαθουπόλεως τῇ Ἀγαθουπόλει· ἀλλ᾽ ἐπανέλθωμεν ἐπὶ τὸ προκείμενον. Οἱ κατὰ τὸ φαινόμενον μόνον ἐπίσκοποι καὶ ποιμένες, μηδεμίαν ἐπιθυμίαν ἔχοντες τοῦ ὄντος *ἀγαθοῦ,* θηρεύοντες ὡς ἀγαθὸν τὸν πλοῦτον καὶ τὴν δόξαν ἐν τῇ τῶν προβάτων δορᾷ, ἐχρῶντο μόνον τῷ ὀνόματι τοῦ Χριστοῦ, πρὸς ἐπιτυχίαν τοῦ ἰδίου τέλους· ἦν ἑπόμενον ἄρα τοὺς τοιούτους κατακυριεύειν ἀναγκαστικῶς τῶν κλήρων καὶ τῶν λαῶν ὁμοίως τοῖς ἄρχουσι τῶν ἐθνῶν, καὶ μάχεσθαι οὐ μόνον ἀλλήλοις, ἀλλὰ καὶ τοῖς πολιτι-

κοῖς ἄρχουσιν, ὧν τὰ δικαιώματα ἐσφετερίζοντο· ἦν ἑπόμενον ἐνεργεῖν κατὰ τὸν νόμον τοῦ φθόνου καὶ τῆς ἐπάρσεως, καὶ οὐχὶ κατὰ τὸν νόμον τῆς ταπεινώσεως καὶ τῆς ἀγάπης, καὶ κατὰ τὸ γεγραμμένον, κλείειν τὴν βασιλείαν των οὐρανῶν ἔμπροσθεν τῶν ἀνθρώπων, οὔτε αὐτοὶ εἰσερχόμενοι, καὶ τοὺς εἰσερχομένους κωλύοντες. Διὰ τοῦτο καὶ ἡ Ἱστορία δείκνυσιν αὐτοὺς πρὸς ἀλλήλους μὲν μαχομένους καὶ ἐρίζοντας περὶ πρωτείων καὶ τίτλων ἀγερώχων, περὶ ὁρίων ἐπαρχιῶν καὶ καθυποταγῆς τῶν πενεστέρων ἐπισκόπων, οὐχ ἧττον δὲ πρὸς τοὺς πολιτικοὺς ἄρχοντας, ὧν τὰ δικαιώματα ἐσφετερίζοντο ἐν ὀνόματι Χριστοῦ, ὃς οὐκ εἶχεν ἐπὶ τῆς γῆς βασιλείαν, οὐδὲ ποῦ τὴν κεφαλὴν κλῖναι, ὃς ἐδίδασκεν, ὅτι οὐκ ἔστι μαθητὴς ὑπὲρ τὸν διδάσκαλον, οὐδὲ ἀπόστολος μείζων τοῦ πέμψαντος αὐτόν. Οἱ τοιοῦτοι ψευδεπίσκοποι, ἐργάται δόλιοι, δουλεύοντες τῷ Μαμωνᾷ καὶ τῇ ἑαυτῶν κοιλίᾳ, καὶ οὐχὶ τῷ Χριστῷ, περιέβαλον ἑαυτοὺς θείᾳ κυριότητι καὶ ἐξουσίᾳ, ὡς δῆθεν διάδοχοι Χριστοῦ καὶ τῶν Ἀποστόλων, κηρύττοντες, ὅτι ἔχουσιν ἀπόλυτον πληρεξουσιότητα δεσμεῖν καὶ λύειν τὰς τῶν ἀνθρώπων ἁμαρτίας, εἰσάγειν τε καὶ ἐξάγειν, οὓς ἂν βούλωνται, τῆς βασιλείας τῶν οὐρανῶν, ὡς λαβόντες παρὰ τοῦ κορυφαίου τῶν Ἀποστόλων τὰς κλεῖς τῆς βασιλείας, ἐπιλανθανόμενοι ἐκεῖνο, ὅτι τοιοῦτον δικαίωμα θεμελιοῦται ἐπὶ προηγουμένῃ ἐκπληρώσει ἀναλόγου καθήκοντος, καὶ ὅτι τοιαύτην ἐξουσίαν ἔδωκεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς εἰς οἰκοδομὴν καὶ οὐκ εἰς καθαίρεσιν, σώζειν ψυχάς, καὶ οὐχὶ πληροῦν βαλάντια ἐπ' ἀπωλείᾳ ψυχῶν. Ἀλλὰ τοιαύτην λεοντῆν περιβεβλημένοι κατεφόβουν τοὺς ἀμαθεῖς ὄχλους, ἀφ' ὧν ἀπέκρυψαν τὴν ἀλήθειαν, καὶ



διὰ τῶν ὄχλων τοὺς βασιλεῖς, καὶ ἐσύλουν ἀμφοτέρους καπηλευόμενοι τὸ εὐσεβὲς πρὸς τὸν Θεὸν αὐτῶν αἴσθημα. Ἀλλ' οὐκ ἔστι κρυπτόν, ὃ οὐ φανερὸν γενήσεται, ἀπεφήνατο ἡ Ἀλήθεια. Διὰ τοῦτο, εἰ καὶ ἀπέκρυψαν τὸ ἱερὸν Εὐαγγέλιον, τὸ φῶς τοῦ κόσμου, ἵνα μὴ ἐλεγχθῶσιν αὐτῶν τὰ ἔργα, οὐχ ἧττον ὅμως ἐθεατρίσθησαν καὶ ἐνεπαίχθησαν ἔμπροσθεν τοῦ ἡλίου, ἐν σταθερᾷ μεσημβρίᾳ, ἵνα μάθωσιν ὅτι δίκαιος Κύριος, καὶ τὸ ῥῆμα αὐτοῦ οὐ παρελεύσεται κενόν. Ἀλλ' εἰδὼς ὁ Διάβολος ὠφελεῖσθαι τῶν περιστάσεων ἐκίνησε τὴν γλωσσαλγίαν ἑτέρων ἑαυτοῦ μαθητῶν, οὐχ ἧττον κατὰ τῶν κατεχόντων τὴν ἀλήθειαν ἐν ἀδικίᾳ ἢ κατ' αὐτοῦ τοῦ Θεοῦ τῆς ἀληθείας, καὶ ἀνῆψε πάλιν δεινὴν ἔριδα καὶ μάχην, κατὰ μὲν τὸ φαινόμενον μεταξὺ τῶν ὀπαδῶν τοῦ Χριστοῦ καὶ τῶν ἀρνησιχρήστων, ἀληθῶς ὅμως κατὰ τῶν δύο ἑαυτοῦ ταγμάτων. Βλέπε ἤδη ἐν ὀλίγαις λέξεσιν ἅπαν τὸ τοῦ Διαβόλου στρατήγημα. Εἴδομεν ἀνωτέρω, ὅτι ὁ Διάβολος νόμον ἐνεργείας ἔχει τοῦ ἀποσπᾷν τοῦ ἀγαθοῦ τὰ ἐλεύθερα δημιουργήματα, καὶ συγχέων καὶ συγκρούων αὐτὰ καταστρέφειν δι' ἀλλήλων. Ἀποσπάσας δὲ ἀπ' ἀρχῆς τὸν ἄνθρωπον τοῦ ἀγαθοῦ, ὃν τρόπον εἴδομεν, ὤφειλε μετελθεῖν πᾶσαν τὴν ἑαυτοῦ πανουργίαν, ἵνα μὴ ἐάσῃ αὐτὸν ἐπανακάμψαι πρὸς τὸν φιλοστόργως καλοῦντα Πατέρα καὶ Κύριον. Ὅτε τοίνυν ἡ Σοφία τοῦ Θεοῦ ᾠκοδόμησεν οἶκον, καὶ ὑπήρεισε στύλους ἑπτά, ἔσφαξε τὰ ἑαυτῆς θύματα, καὶ ἐκέρασεν εἰς κρατῆρα τὸν ἑαυτῆς οἶνον, καὶ ἡτοιμάσατο τὴν ἑαυτῆς τράπεζαν, καὶ ἀπέστειλε τοὺς ἑαυτῆς δούλους συγκαλοῦσα μετὰ ὑψηλοῦ κηρύγματος, ὁ φθονερὸς οὐκ εἶχεν ἄλλο παῖξαι ἢ θεῖναι φραγμοὺς πρὸ τῶν ὀφθαλμῶν τῶν κα-

λουμένων, ἵνα μὴ δύνωνται ἰδεῖν τὴν οἰκίαν καὶ εὑρεῖν τὴν εἰς αὐτὴν εἴσοδον. Πρὸς δὲ τοῦτο τοιόνδε ἐμηχανήσατο· διελὼν τὴν ἑαυτοῦ παράταξιν εἰς τρεῖς ἀρχάς, εἰς τὴν τῶν ψευδοφρόνων αἱρετικῶν, εἰς τὴν τῶν ἀγυρτῶν καὶ φαυλοβίων, καὶ εἰς τὴν τῶν φανερῶς ἀρνησιχρίστων, τὰς μὲν δύο πρώτας ἐτάξατο πρὸ τῆς Ἐκκλησίας, καὶ ἐκάλεσεν αὐτὰς Ἐκκλησίαν, τὴν δὲ ἑτέραν ἀφῆκεν ἐκτὸς κωλύειν τοὺς καλουμένους εἰς τὸν οἶκον τοῦ Θεοῦ. Εἶτα ἀνάψας μεταξὺ δεινὴν ἔριδα καὶ μάχην, τοὺς μὲν μαχομένους συγκρούει καὶ δι' ἀλλήλων καταβάλλει, τοὺς δὲ λάφυρα τῆς νίκης τυγχάνοντας ἐξιστᾷ, καὶ ἀφίησι μετεώρους καὶ ἀμφιβάλλοντας περὶ τοῦ πρακτέου. Ἡ γὰρ δοκοῦσα Ἐκκλησία πολεμοῦσα τοὺς φανεροὺς ἀρνησιχρίστους, ἵνα αἰχμαλωτίσῃ αὐτούς τε καὶ τοὺς ἑπομένους αὐτοῖς εἰς τὴν ἑαυτῆς ὑπακοήν, ἐπιχειρεῖ ἀποδεῖξαι τὴν τῶν οὐρανῶν βασιλείαν, καὶ ὅτι ταύτης αὐτὴ κατέχει ἀποκλειστικῶς τὰς κλεῖς· ἀπειλεῖ ἑπομένως ἀποκλεῖσαι ἔξω πάντας τοὺς ἀπειθοῦντας καὶ ἐμβαλεῖν εἰς τὸ πῦρ τὸ ἄσβεστον, ὡς ἐθνικοὺς καὶ τελώνας. Οἱ δὲ ἀντικείμενοι αὐτῇ, ἐλέγχοντες αὐτῶν τὸν παράνομον βίον, καὶ ἀποδεικνύοντες αὐτοὺς παραχαράκτας τῆς ὑπ' αὐτῶν κηρυττομένης ἀληθείας, καὶ πρώτους ἀποκλειστέους τῆς βασιλείας, εἰ ἀληθῶς γέγραπται· *Οὐ πᾶς ὁ λέγων μοι, Κύριε, Κύριε, εἰσελεύσεται εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, ἀλλ' ὁ ποιῶν τὸ θέλημα τοῦ Πατρός μου τοῦ ἐν οὐρανοῖς*, αὐτούς τε ἀθετοῦσιν ἐν πρώτοις, εἶτα αὐτῶν ἕνεκα, καὶ αὐτὴν τὴν ἀλήθειαν, διαβάλλοντες τὴν θρησκείαν, ὡς ἐπινόημα ἀνθρώπων χάριν συμφέροντος, δι' οὗ βούλονται ἐξηγεῖν πάντα. Οἱ δὲ μεταξὺ τῶν ἐχθρικῶν τούτων στρατοπέδων λαοί, ὁτὲ μὲν ἔνθεν, ὁτὲ δὲ ἐκεῖθεν ἀποκλίνοντες, ὡς μὴ ὁρῶν-

SISMANOGLIO MEGARO



τες τὴν λάμπουσαν ἀλήθειαν, οὔτε ἐν τοῖς μέν, οὔτε ἐν τοῖς δέ, λαβόντες μόνον ἐξ ἑκατέρων ὅσον χρήσιμον, τουτέστιν, ἐκ μὲν τῆς δοκούσης Ἐκκλησίας μόνον τὴν ἐπίκλησιν τοῦ ὀνόματος τοῦ Χριστοῦ, ἐκ δὲ τῶν ἐναντίων τὸ ἀνεξάρτητον καὶ τὸ ἐλευθεροφρονεῖν, ἵστανται ἐν μεταιχμίῳ, ἐν ἀγνοίᾳ *τῆς ἀληθείας*. Τοιούτῳ τινὶ πονηρῷ στρατηγήματι σκοτίσας ὁ σκότιος τὴν φωταυγῆ πόλιν, ἢ μᾶλλον εἰπεῖν, τοὺς ὀφθαλμοὺς τῶν καλουμένων εἰς αὐτήν, ἵνα μὴ ἰδόντες εἰσέλθωσι καὶ σωθῶσι, ἠνάγκασεν αὐτοὺς πρὸς ὥραν στραφῆναι εἰς τὰ ὀπίσω, καὶ συστῆσαι αὖθις τὰς κοινωνίας, ὡς τὸ πάλαι, ἐπὶ τῇ μετοχῇ τοῦ δοκοῦντος ἀγαθοῦ, ὅπερ καλοῦσι συμφέρον. Διὰ τοῦτο βλέπομεν τὰς νῦν ἐπὶ τῆς ἄμμου ᾠκοδομημένας Εὐρωπαϊκὰς κοινωνίας, σαλευομένας καθ' ἑκάστην, καὶ κλινούσας εἰς πτῶσιν, ἣν οὐ διαφεύξονται, ἐὰν μὴ φθάσασαι ἀνοικοδομηθῶσιν ὡς δεῖ ἐπὶ τοῦ *ἀκρογωνιαίου λίθου*, ὅπερ γένοιτο ἀμήν. Τοιαύτη ἐστὶν ἡ δευτέρα πολεμικὴ τῆς Ἐκκλησίας περίοδος, ἧς ἡ κρίσις ἐγγίζει μέν, ἀλλ' οὔπω γέγονε. Κατὰ ταύτην ὁ ἄρχων τοῦ κόσμου τούτου διάρκειαν μόνον τῆς ἑαυτοῦ ἐξουσίας ἐφιέμενος, ὡς οὐδὲν δυνάμενος κατὰ τῆς ἁγίας πόλεως, καθ' ὃ ἔχει ἀξίωμα τοῦ διαιρεῖν καὶ βασιλεύειν, διήρεσεν ἐπιτηδείως τοὺς ἑαυτοῦ, καὶ ἐκράτησεν αὐτοὺς ἐν τοῖς δεσμοῖς μέχρι τοῦδε. Ἡ δὲ σταυροσημαιοφορουμένη φάλαγξ, ἡ γενναίως καταγωνισαμένη τὸ δεινὸν θηρίον, τὸ φοβερὸν πέλωρον, τὴν πολυκέφαλον Ὕδραν τῆς αἱρέσεως, αὐτὴ αὕτη περαιώσει ἤδη καὶ τὸν δεύτερον ἆθλον, τὴν ἐκκάθαρσιν τῆς Αὐγείας κόπρου, τὴν ἐξουδένωσιν τῆς ἀνοσίου φαυλοβιότητος, τῆς ἐπικειμένης δίκην ἀχλύος ἐπὶ τῶν ἀνθρωπίνων ὀφθαλμῶν, ἵνα μὴ βλέπωσι τὸ φῶς, καὶ καταστρατηγήσασα τὸν πονηρόν, οὗ τὰ νοήματα εὖ γινώσκει

στήσει δεύτερον τρόπαιον ἐν θριάμβῳ καὶ χαρᾷ λαμπρότερον τοῦ πρώτου, ὥςτε εὐφραίνεσθαι ἅμα τὸν οὐρανὸν καὶ τὴν γῆν. Σοφίας γὰρ οὐ κατισχύσει ποτὲ κακία, καὶ ἀνατέλλοντος τοῦ φωτός, τάχιστα διαλυθήσεται τὸ σκότος. Ἤδη ἡ αἰώνιος Ἀποστολικὴ ἀλήθεια ἄρχεται ἐκλάμπειν καὶ σκιρτᾷν ἐξ Ἀνατολῆς εἰς Δύσιν, ἵνα μακαρίζηται, ἤδη γνωρίζεται τῇ δεινοπασχούσῃ ἀνθρωπότητι τὸ ἴαμα τῶν ἑαυτῆς δυστυχημάτων, καὶ ἡ ἐπιστημονικὴ αὐτοῦ χρῆσις. Δέδεικται γὰρ ἐναργῶς δυνάμει τίνος σώζονται τὰ ἄτομα καὶ αἱ κοινωνίαι, καὶ κατὰ ποίας συνθήκας. Ἤδη ἐφανερώθησαν τὰ δικαιώματα τοῦ Θεοῦ, καὶ χαίρει ὁ Οὐρανὸς καὶ οἱ ἐν αὐτῷ σκηνοῦντες. Ἰδοὺ ἐγώ, Κύριε, εὐηγγελισάμην δικαιοσύνην ἐν Ἐκκλησίᾳ μεγάλῃ, Ἰδοὺ τὰ χείλη μου οὐ μὴ κωλύσω, Κύριε, σὺ ἔγνως. Τὴν δικαιοσύνην σου οὐκ ἔκρυψα ἐν τῇ καρδίᾳ μου, τὴν ἀλήθειάν σου καὶ τὸ σωτήριόν σου εἶπα, οὐκ ἔκρυψα τὸ ἔλεός σου καὶ τὴν ἀλήθειάν σου ἀπὸ συναγωγῆς πολλῆς. Καὶ διὰ Σιὼν οὐ σιωπήσομαι, καὶ διὰ Ἱερουσαλὴμ οὐκ ἀνήσω, ἕως ἂν ἐξέλθῃ εἰς φῶς ἡ δικαιοσύνη αὐτῆς, καὶ τὸ σωτήριον τοῦ Θεοῦ μου ὡς λαμπὰς καυθήσεται. Φωτίζου, φωτίζου ἡ νέα Ἱερουσαλήμ, ἥκει γάρ σου τὸ φῶς καὶ ἡ δόξα Κυρίου ἐπὶ σὲ ἀνατέταλκε. Ἰδοὺ σκότος καλύψει γῆν καὶ γνόφος ἐπ' ἔθνη, ἐπὶ δέσε φανήσεται Κύριος, καὶ ἡ δόξα αὐτοῦ ἐπὶ σὲ ὀφθήσεται, καὶ πορεύσονται βασιλεῖς τῷ φωτί σου, καὶ ἔθνη τῇ λαμπρότητί σου.

SISMANOGLIO MEGARO



Σὺ δὲ Κύριε, Κύριε, ὁ τὰ πάντα ἐνεργῶν κατὰ τὴν βουλὴν τοῦ θελήματός σου, δὸς γενέσθαι τὸ ἅγιόν σου θέλημα καὶ ἐν τῇ γῇ, καθάπερ καὶ ἐν τῷ οὐρανῷ. Δὸς καὶ ἐμοὶ κατὰ τὴν καρδίαν μου, καὶ πᾶσαν τὴν βουλήν μου πλήρωσον, εἰ γέγονεν ἡ καρδία σου καρδία μου, ἡ βουλή σου βουλή μου, καὶ τὸ θέλημά σου θέλημά μου, ἀμήν.

Λαβέτω δὲ πέρας ἡ βίβλος ἐν τούτοις τοῖς λόγοις, οὓς ἐπιλέγω πᾶσι τοῖς υἱοῖς τῶν ἀνθρώπων τοῖς δεινοπαθοῦσιν ἐν τῷδε τῷ βίῳ, καὶ ἐφιεμένοις μὲν τοῦ ἀεὶ χαίρειν, ἀποθουμένοις δὲ τὸ λυπεῖσθαι. Εἰ φύσει κοινωνικὸν ἔπλασεν ὁ Θεὸς τὸν ἄνθρωπον, κατὰ τὴν ὁμόφωνον μαρτυρίαν τῆς τε φύσεως τῆς τε Γραφῆς λεγούσης, οὐ καλὸν τὸν ἄνθρωπον εἶναι μόνον, ἕπεται ἐκ τούτου ὅτι εἶχεν ὁ Θεὸς ἐν τῇ ἑαυτοῦ διανοίᾳ καὶ τὸν τύπον τῆς τελειοτάτης πολιτείας, ἐν ᾗ μόνῃ δυνατὸν εὐδαιμονῆσαι τὸν ἄνθρωπον. Ταύτης δὲ συνισταμένης εἰς τέλειον σύστημα νόμων ἀξίων ἠθικῶν τε καὶ ἐλευθέρων ὄντων, καὶ εἰς τέλειον ἄρχοντα δυνάμενον χρῆσθαι αὐτοῖς, ἕπεται ὅτι ἀμφότερα εἶχεν ὁ Θεὸς χορηγῆσαι τῷ κοινωνικῷ ἀνθρώπῳ· καὶ τῶν ἀτοπωτάτων ἐστὶ ἔνθεν μὲν ὁμολογεῖν ὅτι ὁ Θεὸς ἔπλασε τὸν ἄνθρωπον φύσει κοινωνικὸν καὶ μὴ δυνάμενον εὐδαιμονῆσαι ἄλλως ἢ ἐν κοινωνίᾳ, ἔνθεν δὲ ὅτι ἀπέκρυψεν ἀπ' αὐτοῦ τὰ ἀναγκαῖα πρὸς σύστασιν εὐδαίμονος κοινωνίας, ἤγουν, τὸν τέλειον ἄρχοντα, καὶ τὸ τέλειον σύστημα τῶν νόμων. Καὶ ὅτι ὁ Θεὸς οὐκ ἀπέκρυψεν, ἀλλὰ δεδήλωκεν ἀμφότερα κατὰ τὸν ἄπειρον πλοῦτον τῆς ἑαυτοῦ χρηστότητος, διὰ τοῦτο καὶ ἡμεῖς ἠδυνήθημεν καταδεῖξαι ἀμφότερα ἐν τῇ συγγραφῇ ταύτῃ. Ἐν τῷ πρώτῳ μέρει τῆς βίβλου, ὅπερ ἐπεγράφη, Ὁδοιπορία πρὸς εὕρεσιν τῆς πόλεως

Σιών, ἀρξάμενοι ὁδοιπορεῖν καὶ φεύγειν ἀπὸ τῶν κακῶν ἐν οἷς ἐσμέν, ἀπηντήκαμεν τὸν τέλειον Βασιλέα, οὗ δυνάμει εὑρήσομεν τὴν τῶν κακῶν ἀπαλλαγήν, καὶ προὐφάνη τοῖς ὀφθαλμοῖς ἡμῶν ἡ πόλις ἐκείνη, ἐν ᾗ κατεστάθη βασιλεύς, ἐπὶ τῷ διαγγέλλειν ἡμῖν τὸ πρόσταγμα Κυρίου. Ἐν δὲ τῷ δευτέρῳ μέρει, ὅπερ ἐπεγράφη, Προθεωρία τῆς πόλεως Σιών, ἑωρακότες τὴν βουλὴν Κυρίου τὴν μένουσαν εἰς τὸν αἰῶνα, τὴν γένεσιν καὶ φύσιν τοῦ κακοῦ, τὸν προορισμὸν ἡμῶν τε καὶ τοῦ κόσμου, ἐν ᾧ οἰκοῦμεν, τά τε αἴτια τῆς πτώσεως ἡμῶν ἐν τῷ κακῷ, ἔγνωμεν τὴν συνθήκην, καθ' ἣν σώζεται πᾶς ἄνθρωπος, ὑπήκοος ἑκούσιος γινόμενος τοῦ αἰωνίου βασιλέως, αὐτῷ προσκολλώμενος ὡς αὐτάρκει καὶ ὑπερκάλῳ ἀγαθῷ διὰ τῆς πίστεως καὶ τῆς ἀγάπης. Ἐν δὲ τῷ τρίτῳ μέρει, ὅπερ ἐπεγράφη, Θεωρία τῆς πόλεως Σιών, ἑωράκαμεν ἔνθεν μὲν τὴν πόλιν Βαβυλῶνα, τόν τε δυσειδῆ αὐτῆς ἄρχοντα, καὶ τὴν ἀθλιότητα τῶν βιούντων ἐν αὐτῇ κατὰ τὸν νόμον τῆς βδελυρᾶς καὶ ἀπεχθοῦς ἀδικίας, ἔνθεν δὲ τὴν πόλιν Σιών, καὶ τὴν μακαριότητα τῶν ἐν αὐτῇ πολιτευομένων κατὰ τὸ τέλειον σύστημα τῶν νόμων, κατὰ τὸν τύπον τῆς ἐντελοῦς δικαιοσύνης ἐκρεούσης ἐξ αὐτοῦ τοῦ παγκάλου αὐτῆς βασιλέως. Ἱστορήσαμεν τὴν ἀπ' ἀρχῆς ὑφισταμένην διαμάχην μεταξὺ τῶν ἐναντίων τούτων πόλεων, τὸ μέχρι τοῦδε παραχθὲν ἀποτέλεσμα, καὶ τὴν μέλλουσαν ἔκβασιν ταύτης. Ταῦτα πάντα ἑωρακότες, εἰς τὸ ἐν ἀρχῇ προταθὲν ζήτημα, Δυνάμει τίνος, καὶ κατὰ ποίας συνθήκας δύναται πᾶς ἄνθρωπος καὶ πᾶσα κοινωνία εὑρεῖν ἀπαλλαγὴν τῶν κακῶν, καὶ κατορθῶσαι ἀεὶ μὲν χαίρειν, οὐδέποτε

SISMANOGLIO MEGARO



τε δὲ λυπεῖσθαι, ἐπάγομεν ἤδη ἐν ὀλίγαις λέξεσι τήνδε τὴν λύσιν. Δυνάμει Χριστοῦ, τοῦ ἀπ' αἰῶνος προωρισμένου βασιλέως τοῦ κοινωνικοῦ ἀνθρώπου, κατὰ τὰς συνθήκας, ἃς περιέχει τὸ τελειότατον συνταγματικὸν πολίτευμα τῆς Μιᾶς, Ἁγίας, Καθολικῆς καὶ Ἀποστολικῆς Ἐκκλησίας. Ἐν βραχυτέροις δὲ ῥήμασι, χρώμενοι Χριστῷ καὶ τοῖς νόμοις, οὓς αὐτὸς πρῶτος ἐν ἀνθρώποις συναναστραφεὶς τετήρηκε καὶ νενομοθέτηκε. Καὶ ἐπειδὴ οὕτως λέλυται τὸ ζήτημα, ἀναθετέον καὶ αὖθις τῷ Θεῷ ἡμῶν Λόγῳ καὶ τὸ ἀνάθημα τόδε,

**ΤΟ ΠΛΗΡΟΥΝ ΠΑΣΑΣ ΤΑΣ ΧΡΕΙΑΣ ΤΟΥ ΕΝΔΕΟΥΣ ΑΝΘΡΩΠΟΥ ΑΓΑΘΟΝ ΑΥΤΩ ΦΙΛΤΑΤΟΝ ΑΝ ΕΙΗ.**

**ΑΛΛΑ ΜΗΝ ΔΕΔΕΙΚΤΑΙ Ο ΧΡΙΣΤΟΣ ΠΑΣΑΝ ΧΡΕΙΑΝ ΑΝΘΡΩΠΙΝΗΝ ΑΤΟΜΙΚΗΝ ΤΕ ΚΑΙ ΚΟΙΝΩΝΙΚΗΝ ΘΕΡΑΠΕΥΩΝ.**

**ΑΡΑ ΤΟ ΦΙΛΤΑΤΟΝ ΤΟΙΣ ΑΝΘΡΩΠΟΙΣ ΑΓΑΘΟΝ ΧΡΙΣΤΟΣ Ο ΚΥΡΙΟΣ ΑΝ ΕΙΗ.**

Τριάδα συλλογισμῶν ἐννάδα τε προτάσεων ἀνατέθεικα τῷ Κυρίῳ μου. Τίς ἱκανὸς ἀνελεῖν, ἢ καὶ συλῆσαι ταύτας; Ὢ! Συνῆκα· Καὶ σύνετε δὴ πάντες ὅτι ἀκατάλυτος ἡ τῆς ΤΡΙΑΔΟΣ δύναμις, Ἡμεῖς τε πάντες οἱ ὑπὸ τὴν σκέπην αὐτῆς πεφευγότες.

Αἰνέσω τὸ ὄνομα τοῦ Θεοῦ μου μετ᾽ ᾠδῆς, μεγαλυνῶ
αὐτὸν ἐν αἰνέσει, καὶ ἀρέσει τῷ Θεῷ ὑπὲρ μόσχον
νέον κέρατα ἐκφέροντα καὶ ὁπλάς.

Τὸν Πατέρα τῆς Σοφίας, τὸν δοτῆρα τῆς εἰρήνης,
Προβολέα τῆς Ἀγάπης, ἀνυμνῶ μετ᾽ εὐφροσύνης.
Ὢν καὶ ζῶν εἰς τοὺς αἰῶνας, ἐλεήμων καὶ οἰκτίρμων
Ποιητὴς ἡμῶν καὶ ὅλων, οὐρανίων ἐπιγείων.
Φῶς, ἀλήθεια καὶ χάρις, καὶ σκοτία οὐδεμία,
Τελειότης, ὡραιότης, ἡ ἀΐδιος οὐσία,
Ἧς μετέσχομεν ἡμεῖς.

Οὓς ἐποίησεν ὁ πλάστης καθ᾽ ὁμοίωσιν ἰδίαν,
Δόξῃ στεφανώσας ὅτι ἀγαθὸς καὶ καλὸς λίαν.
Διηγεῖσθαι τὰς μεγάλας ἀρετὰς Θεοῦ Ὑψίστου
Ἡ ψυχὴ ὀφείλει πάντως, ἴχνη φέρουσα τοῦ Κτίστου.
Νοῦς γεννῶν τέλειον Λόγον ὁ τῶν φώτων Πατὴρ πέλει,
Θεὸς Πνεῦμα ἐκπορεύων πρὸς τὸν μόνον αὐτοῦ γόνον,
Ὃν δεδώρηκεν ἡμῖν.

Οὓς ἠγάπησεν ἐξ ὅλης τῆς ψυχῆς καὶ τῆς καρδίας,
Τῆς ἰσχύος, τῆς σοφίας, τῆς παγγνώστου διανοίας.
Ὦ ψυχή, τῷ αὐτῷ νόμῳ τὸ πρωτότυπόν σου κάλλος
Δίκαιον ἀνταγαπῆσαι, ζωὴν γὰρ οὐκ ἔχεις ἄλλως.
Τέλειος οὗτος ὁ νόμος, νόμος φύσεως τελείας,
Ἐντολὴ τηλαυγεστάτη οὐρανίου πολιτείας,
Ἧς πολῖται καὶ ἡμεῖς
Ναὶ γεγόναμεν ἀμήν.

---

SISMANOGLIO MEGARO



Εὐλογήσω τὸν Κύριον ἐν παντὶ καιρῷ, διὰ παντὸς ἡ αἴνεσις
αὐτοῦ ἐν τῷ στόματί μου. Ἐν τῷ Κυρίῳ ἐπαινεθήσε-
ται ἡ ψυχή μου, ἀκουσάτωσαν πραεῖς, καὶ εὐφραν-
θήτωσαν. Μεγαλύνατε τὸν Κύριον σὺν ἐμοί,
καὶ ὑψώσωμεν τὸ ὄνομα αὐτοῦ ἐπὶ τὸ αὐτό.

Τὴν Σοφίαν καὶ τὸν Λόγον, Θεὸν ὄντα ἐκ τοῦ Ὄντος
Δεῦρο αἴνεσον ψυχή μου γηθοσύνως καὶ πρεπόντως.
Νοῦ τελείου μόνος γόνος, ἐκ τελείου τελειότης,
Χαρακτὴρ Πατρὸς ἀνάρχου, καλλονὴ καὶ ὡραιότης.
Ἀντικείμενον ἀγάπης, τὴν Ἀγάπην ἕλκει ὅλην
Ἐκ Πατρὸς τὴν προϊοῦσαν Θεοῦ μόνου, θείαν μόνην
Ὁ ἀγαπητὸς Υἱός.

Ὃς γινώσκει τὸν Πατέρα κατ᾽ ἀκρίβειαν τελείαν,
Ὅτι Νοῦς καὶ Λόγος γνῶσιν ἔχουσιν οἱ δύο μίαν.
Μίαν ἔχουσι καὶ σχέσιν, αὕτη Πνεῦμα καὶ ἀγάπη,
Τέλειος δεσμὸς τελείων, δύναμις κραταιοτάτη.
Θεωρῶ. Ἡ θεία φύσις ἐναρμόνιος οὐσία,
Ὅτ᾽ ἐν ἑαυτῇ δικαία, ἴση, καὶ ἁπλῆ καὶ μία,
Ἧς ὁμοίωμα ψυχή.

Εἶπε γὰρ ὁ Πατὴρ πάντων πρὸς τὸ Πνεῦμα καὶ τὸν Λόγον·
Κατ᾽ εἰκόνα ἡμετέραν ἄνθρωπον ποιῶμεν μόνον.
Ὡς περιστερὰ τελεία, ὦ ψυχή μου, πτερωθεῖσα
Ἵπτασο πρὸς τὸν Πατέρα, τῶν γηΐνων ἀφεθεῖσα.
Θύρα πέλει σοι ὁ Λόγος, ὁδηγὸς τὸ θεῖον Πνεῦμα,
Εἰσελθοῦσα κατατρύφα, τῶν δεινῶν ἐκεῖ τὸ τέρμα.
Σπεῦδε, σπεῦδε, ὦ ψυχή,
Ὁ Πατὴρ γὰρ σὲ καλεῖ
Ναὶ Ἀμήν.

ΤΕΛΟΣ.

SISMANOGLIO MEGARO

SISMANOGLIO
MEGARO